MASTER
NEGATIVE
NO. 91-80174-4

MICROFILMED 1991

COLUMBIA UNIVERSITY LIBRARIES/NEW YORK

as part of the
"Foundations of Western Civilization Preservation Project"

Funded by the
NATIONAL ENDOWMENT FOR THE HUMANITIES

Reproductions may not be made without permission from
Columbia University Library

COPYRIGHT STATEMENT

The copyright law of the United States -- Title 17, United States Code -- concerns the making of photocopies or other reproductions of copyrighted material...

Columbia University Library reserves the right to refuse to accept a copy order if, in its judgement, fulfillment of the order would involve violation of the copyright law.

AUTHOR:

ADAM, JAMES

TITLE:

TEXTS TO ILLUSTRATE A COURSE OF ...

PLACE:

LONDON

DATE:

1902

Master Negative #

91-80174-4

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

182
Ad12

Adam, James, 1860-1907, *ed.*

Texts to illustrate a course of elementary lectures on Greek philosophy after Aristotle, selected and arranged by J. Adam ... London, New York, Macmillan and co., limited, 1902.

viii, 70 p. 22½cm.

~~D109.1 Ad13 Copy in Butler Library of Philosophy. 1930.~~

1. Philosophy, Ancient.

12-14318

Library of Congress B505.A4

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35mm REDUCTION RATIO: 11x
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 8/7/91 INITIALS RK
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT

AIIM

Association for Information and Image Management

1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910

301/587-8202

Centimeter

Inches

MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

182 Ad12

Columbia University
in the City of New York
Library

Special Fund

Given anonymously

Texts to illustrate a Course of Elementary Lectures on Greek Philosophy after Aristotle

Texts to illustrate a Course of Elementary Lectures on Greek Philosophy after Aristotle

Selected and arranged by J. Adam, M.A., Hon. LL.D. of Aberdeen University, Fellow and Senior Tutor of Emmanuel College, Cambridge

London
Macmillan and Co., Limited
New York: The Macmillan Company
1902

All rights reserved

ἐκ ϲοῦ γὰρ γένοϲ ἐϲμέν

PREFACE

In preparing this volume of extracts, which is uniform with Dr. Jackson's recently published compendium,[1] my primary and immediate object has been to provide a text-book for use in connexion with my lectures on post-Aristotelian philosophy, particularly Stoicism and Epicureanism. I have, however, endeavoured to keep in view the needs of those students, if any such there be, who, having a fair knowledge of the classical languages, and some interest in philosophy, may wish to acquire for themselves an elementary knowledge at first hand of the two greatest and most representative systems of Greek thought and dogma between the death of Aristotle and the birth of Christ.

The modern writers to whom I am most indebted are Zeller, *Philosophie der Griechen*; Ritter and Preller, *Historia Philosophiae Graecae*; Diels, *Doxographi Graeci*; Usener, *Epicurea*; Stein, *Psychologie der Stoa*; Pearson, *Fragments of Zeno and Cleanthes*; and Dyroff, *Ethik der alten Stoa*. My obligations to Zeller are paramount; and I am glad to have this opportunity of placing on record the admiration which, in common with all students of ancient philosophy, I have long felt for his incomparable work.

[1] *Texts to illustrate a Course of Elementary Lectures on the History of Greek Philosophy from Thales to Aristotle.*—Macmillan and Co. 1901.

Emmanuel College, Cambridge
19th December 1901.

NOV 3 1902 Putnam. 86
3-11-13 Nov '02
331175

CONTENTS

I The Academy after Plato

Section		Page
1	Introductory	1
2, 3	Speusippus and Xenocrates	1
4–6	Arcesilaus	1
7–14	Carneades	2
15–17	Philo	4
18–22	Antiochus	4

II The Peripatetic School after Aristotle

23–28	Theophrastus	7
29–32	Strato and Lyco	8

III The Older Sceptics

33–38	Pyrrho and Timon	9

IV Epicurus

39–44	Introductory	11
45, 46	Philosophy and its parts	13
47–56	Canonic	14
57–83	Physics	16
84–102	Ethics	23

V THE STOICS

Section		Page
103–105	Introductory	28
106–108	Philosophy and its parts	29
109–126	Logic	30
127–152	Physics	34
153–196	Ethics	41

VI GREEK PHILOSOPHY IN ROME

197–202	Introductory	56
203	Early Epicureans	57
204–213	Lucretius	58
214–222	Panaetius and Posidonius	60
223–230	Cicero	62
231	Virgil	64
232–234	Seneca	65
235, 236	Musonius	66
237–243	Epictetus	67
244–248	Marcus Aurelius	69

I THE ACADEMY AFTER PLATO

PRESIDENTS

Old Academy	SPEUSIPPUS 347–339 B.C.
	XENOCRATES 339–314
Second or Middle Academy	ARCESILAUS ?–241
Third or New Academy	CARNEADES 160 (?)–129
Fourth Academy	PHILO 100 (?)–*circa* 79
Fifth Academy	ANTIOCHUS *circa* 79–*circa* 69

1 Sextus Empiricus *Pyrrhoneorum* I 220 *Ἀκαδημίαι δὲ γεγόνασιν, ὥς φασιν οἱ πλείους, δύο ἢ τρεῖς· καὶ μία μὲν καὶ ἀρχαιοτάτη ἡ τῶν περὶ Πλάτωνα, δευτέρα δὲ καὶ μέση ἡ τῶν περὶ Ἀρκεσίλαον τὸν ἀκουστὴν Πολέμωνος, τρίτη δὲ καὶ νέα ἡ τῶν περὶ Καρνεάδην καὶ Κλειτόμαχον· ἔνιοι δὲ καὶ τετάρτην προστιθέασι τῶν περὶ Φίλωνα καὶ Χαρμίδαν. τινὲς δὲ καὶ πέμπτην καταλέγουσι τὴν τῶν περὶ τὸν Ἀντίοχον.*

Speusippus

2 Diogenes Laertius IV 1 *διεδέξατο δ' αὐτὸν (τὸν Πλάτωνα) Σπεύσιππος Εὐρυμέδοντος Ἀθηναῖος.* See Jackson *Texts for Lectures etc.*, pp. 72 ff.

Xenocrates

3 Diogenes Laertius IV 14 *διεδέξατο δὲ Σπεύσιππον (ὁ Ξενοκράτης) καὶ ἀφηγήσατο τῆς σχολῆς πέντε καὶ εἴκοσιν ἔτη.* See Jackson l.c.

Arcesilaus

4 Cicero *de oratore* III 67 Arcesilas primum, qui Polemonem audierat, ex variis Platonis libris sermonibusque Socraticis hoc maxime adripuit, nihil esse certi, quod aut sensibus aut animo percipi possit; quem ferunt eximio quodam usum lepore dicendi aspernatum esse omne animi sensusque iudicium primumque instituisse (quamquam id fuit Socraticum maxime) non quid ipse sentiret ostendere, sed contra id, quod quisque se sentire dixisset, disputare.

5 Cicero *academica* I 44 cum Zenone, inquam, ut accepimus, Arcesilas sibi omne certamen instituit. ibid. 45 Arcesilas negabat esse quicquam quod sciri posset, ne illud quidem ipsum, quod Socrates sibi reliquisset: sic omnia latere censebat in occulto: neque esse quicquam quod cerni aut intellegi posset: quibus de causis nihil oportere neque profiteri neque adfirmare quemquam neque adsensione approbare, cohibereque semper et ab omni lapsu continere temeritatem, quae tum esset insignis, cum aut falsa aut incognita res approbaretur, neque hoc quicquam esse turpius quam cognitioni et perceptioni adsensionem approbationemque praecurrere.

6 Sextus Empiricus VII 156–158 *πάντων ὄντων ἀκαταλήπτων διὰ τὴν ἀνυπαρξίαν τοῦ Στωικοῦ κριτηρίου, εἰ συγκαταθήσεται ὁ σοφός, δοξάσει ὁ σοφός· μηδενὸς γὰρ ὄντος καταληπτοῦ, εἰ συγκατατίθεταί τινι, τῷ ἀκαταλήπτῳ συγκαταθήσεται, ἡ δὲ τῷ ἀκαταλήπτῳ συγκατάθεσις δόξα ἐστίν. ὥστε εἰ τῶν συγκατατιθεμένων ἐστὶν ὁ σοφός, τῶν δοξαστῶν ἔσται ὁ σοφός. οὐχὶ δέ γε τῶν δοξαστῶν ἐστιν ὁ σοφός (τοῦτο γὰρ ἀφροσύνης ἦν κατ' αὐτούς, καὶ τῶν ἁμαρτημάτων αἴτιον)· οὐκ ἄρα τῶν συγκατατιθεμένων ἐστὶν ὁ σοφός. εἰ δὲ τοῦτο, περὶ πάντων αὐτὸν δεήσει ἀσυγκαταθετεῖν. τὸ δὲ ἀσυγκαταθετεῖν οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ ἐπέχειν· ἐφέξει ἄρα περὶ πάντων ὁ σοφός. ἀλλ' ἐπεὶ μετὰ τοῦτο ἔδει καὶ περὶ τῆς τοῦ βίου διεξαγωγῆς ζητεῖν, ἥτις οὐ χωρὶς κριτηρίου πέφυκεν ἀποδίδοσθαι, ἀφ' οὗ καὶ ἡ εὐδαιμονία, τουτέστι τὸ τοῦ βίου τέλος, ἠρτημένην ἔχει τὴν πίστιν, φησὶν ὁ Ἀρκεσίλαος ὅτι οὐ περὶ πάντων ἐπέχων κανονιεῖ τὰς αἱρέσεις καὶ φυγὰς καὶ κοινῶς τὰς πράξεις τῷ εὐλόγῳ, κατὰ τοῦτό τε προερχόμενος τὸ κριτήριον κατορθώσει· τὴν μὲν γὰρ εὐδαιμονίαν περιγίνεσθαι διὰ τῆς φρονήσεως, τὴν δὲ φρόνησιν κινεῖσθαι ἐν τοῖς κατορθώμασιν, τὸ δὲ κατόρθωμα εἶναι ὅπερ πραχθὲν εὔλογον ἔχει τὴν ἀπολογίαν. ὁ προσέχων οὖν τῷ εὐλόγῳ κατορθώσει καὶ εὐδαιμονήσει.*

Carneades

7 Sextus Empiricus VII 159 *ὁ δὲ Καρνεάδης οὐ μόνον τοῖς Στωικοῖς ἀλλὰ καὶ πᾶσι τοῖς πρὸ αὐτοῦ ἀντιδιετάσσετο περὶ τοῦ κριτηρίου . . . οὐδέν ἐστιν ἁπλῶς ἀληθείας κριτήριον, οὐ λόγος, οὐκ αἴσθησις, οὐ φαντασία, οὐκ ἄλλο τι τῶν ὄντων· πάντα γὰρ ταῦτα συλλήβδην διαψεύδεται ἡμᾶς.*

8 Cicero *academica* II 28 ex hoc illud est natum, quod postulabat Hortensius, ut id ipsum saltem perceptum a sapiente diceretis, nihil posse percipi. sed Antipatro hoc idem postulanti, cum diceret ei, qui adfirmaret nihil posse percipi, unum tamen illud dicere percipi posse consentaneum esse, ut alia non possent, Carneades acutius resistebat. nam tantum abesse dicebat, ut id consentaneum esset, ut maxime etiam repugnaret. qui enim negaret quicquam esse quod perciperetur, eum nihil excipere: ita necesse esse, ne id ipsum quidem, quod exceptum non esset, comprehendi et percipi ullo modo posse.

9 Sextus Empiricus IX 139–141 *εἰ γὰρ εἰσὶ θεοί, ζῷά εἰσίν. εἰ δὲ ζῷά εἰσίν, αἰσθάνονται· πᾶν γὰρ ζῷον αἰσθήσεως μετοχῇ νοεῖται ζῷον. εἰ δὲ αἰσθάνονται, καὶ πικράζονται καὶ γλυκάζονται· οὐ γὰρ δι' ἄλλης μέν τινος αἰσθήσεως ἀντιλαμβάνονται τῶν αἰσθητῶν, οὐχὶ δὲ καὶ διὰ τῆς γεύσεως. ὅθεν καὶ τὸ περικόπτειν ταύτην ἤ τινα αἴσθησιν ἄλλην ἁπλῶς τοῦ θεοῦ παντελῶς ἐστιν ἀπίθανον· περιττοτέρας γὰρ αἰσθήσεις ἔχων [ὁ ἄνθρωπος] ἀμείνων αὐτοῦ γενήσεται, δέον μᾶλλον, ὡς ἔλεγεν ὁ Καρνεάδης, σὺν ταῖς πᾶσιν ὑπαρχούσαις πέντε ταύταις αἰσθήσεσι καὶ ἄλλας αὐτῷ περιττοτέρας προσμαρτυρεῖν, ἵν' ἔχῃ πλειόνων ἀντιλαμβάνεσθαι πραγμάτων, ἀλλὰ μὴ τῶν πέντε ἀφαιρεῖν. ῥητέον οὖν τινὰ γεῦσιν ἔχειν τὸν θεόν, καὶ διὰ ταύτης ἀντιλαμβάνεσθαι τῶν γευστῶν. ἀλλ' εἰ διὰ γεύσεως ἀντιλαμβάνεται, γλυκάζεται καὶ πικράζεται. γλυκαζόμενος δὲ καὶ πικραζόμενος εὐαρεστήσει τισὶ καὶ δυσαρεστήσει. δυσαρεστῶν δέ τισι καὶ ὀχλήσεως ἔσται δεκτικὸς καὶ τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς. εἰ δὲ τοῦτο, φθαρτός ἐστιν. ὥστε εἴπερ εἰσὶ θεοί, φθαρτοί εἰσιν. οὐκ ἄρα θεοὶ εἰσίν.*

10 Quintilianus XII 1. 35 neque enim Academici, cum in utramque disseruerunt partem, non secundum alteram vivent; nec Carneades ille, qui Romae audiente Censorio Catone non minoribus viribus contra iustitiam dicitur

disseruisse quam pridie pro iustitia dixerat, iniustus ipse vir fuit.

11 Sextus Empiricus VII 166 *ἀπαιτούμενος δὲ καὶ αὐτός τι κριτήριον πρός τε τὴν τοῦ βίου διεξαγωγὴν καὶ πρὸς τὴν τῆς εὐδαιμονίας περίκτησιν, δυνάμει ἐπαναγκάζεται καὶ καθ' αὑτὸν περὶ τούτου διατάττεσθαι, προσλαμβάνων τήν τε πιθανὴν φαντασίαν καὶ τὴν πιθανὴν ἅμα καὶ ἀπερίσπαστον καὶ διεξωδευμένην.*

12 Cicero *de finibus* III 41 Carneades . . . pugnare non destitit, in omni hac quaestione, quae de bonis et malis appelletur, non esse rerum Stoicis cum Peripateticis controversiam, sed nominum.

13 Cicero *academica* II 131 introducebat etiam Carneades, non quo probaret, sed ut opponeret Stoicis, summum bonum esse frui rebus eis, quas primas natura conciliavisset.

14 Cicero *Tusculanae disputationes* III 54 legimus librum Clitomachi, quem ille eversa Karthagine misit consolandi causa ad captivos cives suos; in eo est disputatio scripta Carneadis, quam se ait in commentarium rettulisse. cum ita positum esset, videri fore in aegritudine sapientem patria capta, quae Carneades contra dixerit, scripta sunt.

Philo

15 Eusebius *praeparatio evangelica* XIV 8. 15 *διάδοχος δ' αὐτοῦ (τοῦ Καρνεάδου) τῆς διατριβῆς καθίσταται Κλειτόμαχος, μεθ' ὃν Φίλων.*

16 Cicero *academica* I 13 Antiochi magister Philo, magnus vir, ut tu existimas ipse, negat in libris, quod coram etiam ex ipso audiebamus, duas Academias esse erroremque eorum, qui ita putarunt, coarguit.

17 Sextus Empiricus *Pyrrhoneorum* I 235 *οἱ δὲ περὶ Φίλωνά φασιν ὅσον μὲν ἐπὶ τῷ Στωικῷ κριτηρίῳ, τουτέστι τῇ καταληπτικῇ φαντασίᾳ, ἀκατάληπτα εἶναι τὰ πράγματα, ὅσον δὲ ἐπὶ τῇ φύσει τῶν πραγμάτων αὐτῶν καταληπτά.* Compare Cicero *academica* II 18.

Antiochus

18 Cicero *academica* II 69, 70 sed prius pauca cum Antiocho, qui haec ipsa, quae a me defenduntur, et didicit apud Philonem tam diu, ut constaret diutius didicisse neminem, et scripsit de his rebus acutissime, et idem haec non acrius accusavit in senectute quam antea defensitaverat.

quamvis igitur fuerit acutus, ut fuit, tamen inconstantia levatur auctoritas. quis enim iste dies illuxerit quaero, qui illi ostenderit eam, quam multos annos esse negitavisset, veri et falsi notam. excogitavit aliquid? eadem dicit quae Stoici. poenituit illa sensisse? cur non se transtulit ad alios et maxime ad Stoicos? eorum enim erat propria ista dissensio. quid? eum Mnesarchi poenitebat? quid? Dardani? qui erant Athenis tum principes Stoicorum. numquam a Philone discessit, nisi postea quam ipse coepit qui se audirent habere. unde autem subito vetus Academia revocata est? nominis dignitatem videtur, cum a re ipsa descisceret, retinere voluisse, quod erant qui illum gloriae causa fecisse dicerent, sperare etiam fore ut ei, qui se sequerentur, Antiochii vocarentur.

19 Cicero *de finibus* V 7 audebo te ab hac Academia nova ad illam veterem vocare, in qua, ut dicere Antiochum audiebas, non ei soli numerantur, qui Academici vocantur, Speusippus, Xenocrates, Polemo, Crantor ceterique, sed etiam Peripatetici veteres, quorum princeps Aristoteles, quem excepto Platone haud scio an recte dixerim principem philosophorum. Compare ibid. 22 restant Stoici, qui, cum a Peripateticis et Academicis omnia transtulissent, nominibus aliis easdem res secuti sunt.

20 Sextus Empiricus *Pyrrhoneorum* I 235 *ὁ Ἀντίοχος τὴν Στοὰν μετήγαγεν εἰς τὴν Ἀκαδημίαν, ὡς καὶ εἰρῆσθαι ἐπ' αὐτῷ ὅτι ἐν Ἀκαδημίᾳ φιλοσοφεῖ τὰ Στωικά· ἐπεδείκνυε γὰρ ὅτι παρὰ Πλάτωνι κεῖται τὰ τῶν Στωικῶν δόγματα.* Compare Cicero *academica* II 132 (Antiochus) qui appellabatur Academicus, erat quidem, si perpauca mutavisset, germanissimus Stoicus.

21 Cicero *academica* II 134 Zeno in una virtute positam beatam vitam putat. quid Antiochus? etiam, inquit, beatam, sed non beatissimam. deus ille, qui nihil censuit deesse virtuti, homuncio hic, qui multa putat praeter virtutem homini partim cara esse, partim etiam necessaria.

22 Cicero *de finibus* V 65 in omni autem honesto, de quo loquimur, nihil est tam illustre nec quod latius pateat quam coniunctio inter homines hominum et quasi quaedam

societas et communicatio utilitatum et ipsa caritas generis humani, quae nata a primo satu, quod a procreatoribus nati diliguntur et tota domus coniugio et stirpe coniungitur, serpit sensim foras, cognationibus primum, tum adfinitatibus, deinde amicitiis, post vicinitatibus, tum civibus et eis, qui publice socii atque amici sunt, deinde totius conplexu gentis humanae: quae animi affectio suum cuique tribuens atque hanc, quam dico, societatem coniunctionis humanae munifice et aeque tuens iustitia dicitur, cui sunt adiunctae pietas, bonitas, liberalitas, benignitas, comitas quaeque sunt generis eiusdem.

II THE PERIPATETIC SCHOOL AFTER ARISTOTLE

Presidents

Theophrastus 322–288 b.c.
Strato 288–270
Lyco 270–226

Theophrastus

23 Diogenes Laertius v 36 Θεόφραστος Μελάντα Ἐφέσιος. . . . οὗτος πρῶτον μὲν ἤκουσεν Ἀλκίππου τοῦ πολίτου ἐν τῇ πατρίδι, εἶτ᾽ ἀκούσας Πλάτωνος μετέστη πρὸς Ἀριστοτέλην· κἀκείνου εἰς Χαλκίδα ὑποχωρήσαντος αὐτὸς διεδέξατο τὴν σχολὴν Ὀλυμπιάδι τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ.

24 Theophrastus *de causis plantarum* II 3. 5 καίτοι τὰ καθόλου καὶ κοινὰ πρῶτα ἔδει ζητεῖν· εὑρεθέντων γὰρ τούτων καὶ τὰ κατὰ μέρος φανερά. τοῦτο μὲν οὖν ἴσως κωλύοιτ᾽ ἂν διὰ τὸ χαλεπὸν εἴτε πλείους αἰτίαι τυγχάνουσιν εἴτε μία· περὶ δὲ τῶν ἐν τοῖς καθ᾽ ἕκαστα μᾶλλον εὐποροῦμεν· ἡ γὰρ αἴσθησις δίδωσιν ἀρχάς.

25 I 1. 1 ἡ μὲν οὖν ἀπὸ τοῦ σπέρματος γένεσις κοινὴ πάντων ἐστι τῶν ἐχόντων σπέρμα· πάντα γὰρ δύναται γεννᾶν. τοῦτο δὲ καὶ τῇ αἰσθήσει φανερὸν ὅτι συμβαίνει, κατὰ δὲ τὸν λόγον ἴσως ἀναγκαῖον· ἡ γὰρ φύσις οὐδὲν ποιεῖ μάτην, ἥκιστα δὲ ἐν τοῖς πρώτοις καὶ κυριωτάτοις· πρῶτον δὲ καὶ κυριώτατον τὸ σπέρμα, ὥστε τὸ σπέρμα μάτην ἂν εἴη μὴ δυνάμενον γεννᾶν, εἴπερ τούτου χάριν αἰεὶ τὸ σπέρμα καὶ πρὸς τοῦτο πέφυκεν.

26 I 16. 11 ἡ δὲ (φύσις) ἀεὶ πρὸς τὸ βέλτιστον ὁρμᾷ καὶ τοῦθ᾽ ὥσπερ ὁμολογούμενόν ἐστι, ταύτῃ δὲ καὶ τὰ τῆς θεραπείας· ἅμα γὰρ καὶ τελείωσις γίνεται τῆς φύσεως ὅταν ὧν ἐλλιπὴς τυγχάνῃ ταῦτα προσλάβῃ διὰ τέχνης.

27 Theophrastus (?) apud Porphyrium *de abstinentia* III 25 *καὶ μὴν πᾶσι τοῖς ζῴοις αἵ γε τῶν σωμάτων ἀρχαὶ πεφύκασιν αἱ αὐταί. λέγω δὲ οὐκ ἐπὶ τὰ στοιχεῖα ἀναφέρων τὰ πρῶτα· ἐκ τούτων μὲν γὰρ καὶ τὰ φυτά· ἀλλ' οἷον σπέρμα, σάρκας, καὶ τὸ τῶν ὑγρῶν τοῖς ζῴοις σύμφυτον γένος. πολὺ δὲ μᾶλλον τῷ τὰς ἐν αὐτοῖς ψυχὰς ἀδιαφόρους πεφυκέναι, λέγω δὴ ταῖς ἐπιθυμίαις καὶ ταῖς ὀργαῖς, ἔτι δὲ τοῖς λογισμοῖς, καὶ μάλιστα πάντων ταῖς αἰσθήσεσιν. ἀλλ' ὥσπερ τὰ σώματα, οὕτω καὶ τὰς ψυχὰς τὰ μὲν ἀπηκριβωμένας ἔχει τῶν ζῴων, τὰ δὲ ἧττον τοιαύτας. πᾶσί γε μὴν αὐτοῖς αἱ αὐταὶ πεφύκασιν ἀρχαί.*

28 Cicero *Tusculanae disputationes* V 24 hic autem elegantissimus omnium philosophorum et eruditissimus non magno opere reprehenditur, cum tria genera dicit bonorum ; vexatur autem ab omnibus primum in eo libro, quem scripsit de vita beata, in quo multa disputat, quamobrem is, qui torqueatur, qui crucietur, beatus esse non possit. in eo etiam putatur dicere in rotam beatam vitam non escendere.

Strato

29 Diogenes Laertius V 58 *διεδέξατο δ' αὐτοῦ (τοῦ Θεοφράστου) τὴν σχολὴν Στράτων Ἀρκεσιλάου Λαμψακηνὸς—ἀνὴρ ἐλλογιμώτατος καὶ φυσικὸς ἐπικληθεὶς ἀπὸ τοῦ περὶ τὴν θεωρίαν ταύτην παρ' ὁντινοῦν ἐπιμελέστατα διατετριφέναι.*

30 Cicero *academica* II 121 Lampsacenus Strato . . . negat opera deorum se uti ad fabricandum mundum. quaecumque sint, docet omnia effecta esse natura, nec, ut ille, qui asperis et levibus et hamatis uncinatisque corporibus concreta haec esse dicat interiecto inani. somnia censet haec esse Democriti non docentis, sed opinantis. ipse autem singulas mundi partes persequens, quidquid aut sit aut fiat, naturalibus fieri aut factum esse docet ponderibus et motibus.

Lyco

31 Diogenes Laertius V 65 *τοῦτον (τὸν Θεόφραστον) διεδέξατο Λύκων Ἀστυάνακτος Τρωαδεύς.* ibid. 68 *ἀφηγήσατο δὲ τῆς σχολῆς ἔτη τέτταρα πρὸς τοῖς τετταράκοντα.*

32 Cicero *de finibus* V 13 Lyco, oratione locuples, rebus ipsis ieiunior.

III THE OLDER SCEPTICS

PYRRHO *circa* 365–275 B.C.
TIMON *circa* 320–230

33 Diogenes Laertius IX 61 *Πύρρων, Ἠλεῖος, Πλειστάρχου μὲν ἦν υἱός, καθὰ καὶ Διοκλῆς ἱστορεῖ. ὥς φησι δὲ Ἀπολλόδωρος ἐν χρονικοῖς, πρότερον ἦν ζῳγράφος, καὶ ἤκουσε Δρύσωνος τοῦ Στίλπωνος, ὡς Ἀλέξανδρος ἐν διαδοχαῖς, εἶτα Ἀναξάρχου, ξυνακολουθῶν πανταχοῦ, ὡς καὶ τοῖς Γυμνοσοφισταῖς ἐν Ἰνδίᾳ συμμίξαι καὶ τοῖς Μάγοις.* Pyrrho

34 Sextus Empiricus I 53 *ὁ προφήτης τῶν Πύρρωνος λόγων Τίμων.* Diogenes Laertius IX 110 f. *ποιήματα (ὁ Τίμων) συνέγραφε, καὶ ἔπη, καὶ τραγῳδίας, καὶ σατύρους, καὶ δράματα κωμικὰ τριάκοντα, τραγικὰ δὲ ἑξήκοντα, σίλλους τε καὶ κιναίδους. φέρεται δὲ αὐτοῦ καὶ καταλογάδην βιβλία, εἰς ἐπῶν τείνοντα μυριάδας δύο, . . . τῶν δὲ σίλλων τρία ἐστίν· ἐν οἷς, ὡς ἂν σκεπτικὸς ὤν, πάντας λοιδορεῖ καὶ σιλλαίνει τοὺς δογματικούς, ἐν παρῳδίας εἴδει.* Timon

35 Aristocles apud Eusebii *praeparationem evangelicam* XIV 18. 2–4 *αὐτὸς μὲν (Πύρρων ὁ Ἠλεῖος) οὐδὲν ἐν γραφῇ καταλέλοιπεν, ὁ δὲ μαθητὴς αὐτοῦ Τίμων φησὶ δεῖν τὸν μέλλοντα εὐδαιμονήσειν εἰς τρία ταῦτα βλέπειν· πρῶτον μέν, ὁποῖα πέφυκε τὰ πράγματα· δεύτερον δέ, τίνα χρὴ τρόπον ἡμᾶς πρὸς αὐτὰ διακεῖσθαι· τελευταῖον δέ, τί περιέσται τοῖς οὕτως ἔχουσι. τὰ μὲν οὖν πράγματά φησιν αὐτὸν ἀποφαίνειν ἐπ' ἴσης ἀ δ ι ά φ ο ρ α καὶ ἀστάθμητα καὶ ἀνεπίκριτα· διὰ τοῦτο μήτε τὰς αἰσθήσεις ἡμῶν μήτε τὰς δόξας ἀληθεύειν ἢ ψεύδεσθαι. διὰ τοῦτο οὖν μηδὲ*

πιστεύειν αὐταῖς δεῖν, ἀλλ᾽ ἀδοξάστους καὶ ἀκλινεῖς καὶ ἀκραδάντους εἶναι, περὶ ἑνὸς ἑκάστου λέγοντας ὅτι οὐ μᾶλλον ἔστιν ἢ οὐκ ἔστιν, ἢ καὶ ἔστι καὶ οὐκ ἔστιν, ἢ οὔτε ἔστιν οὔτ᾽ οὐκ ἔστιν. τοῖς μέντοι διακειμένοις οὕτω περιέσεσθαι Τίμων *φησὶ πρῶτον μὲν ἀφασίαν, ἔπειτα δ᾽ ἀταραξίαν.*

36 Diogenes Laertius IX 103 f. *περὶ δὲ ὧν οἱ δογματικοὶ διαβεβαιοῦνται τῷ λόγῳ, φάμενοι κατειλῆφθαι, περὶ τούτων ἐπέχομεν ὡς ἀδήλων, μόνα δὲ τὰ πάθη γινώσκομεν. τὸ μὲν γὰρ ὅτι ὁρῶμεν, ὁμολογοῦμεν, καὶ τὸ ὅτι τόδε νοοῦμεν, γινώσκομεν· πῶς δὲ ὁρῶμεν, ἢ πῶς νοοῦμεν, ἀγνοοῦμεν. καὶ ὅτι τόδε λευκὸν φαίνεται, διηγηματικῶς λέγομεν, οὐ διαβεβαιούμενοι ὅτι καὶ ὄντως ἔστι. περὶ δὲ τῆς οὐδὲν ὁρίζω φωνῆς καὶ τῶν ὁμοίων, λέγομεν ὡς οὐ δογμάτων . . . ἐν ᾧ οὖν λέγομεν μηδὲν ὁρίζειν, οὐδ᾽ αὐτὸ τοῦτο ὁριζόμεθα.* Compare 76 *ἀναιροῦσι δὲ οἱ σκεπτικοὶ καὶ αὐτὴν τὴν οὐδὲν μᾶλλον φωνήν. ὡς γὰρ οὐ μᾶλλον ἔστι πρόνοια ἢ οὐκ ἔστιν, οὕτω καὶ τὸ οὐδὲν μᾶλλον οὐ μᾶλλον ἔστιν ἢ οὐκ ἔστι. σημαίνει οὖν ἡ φωνή, καθά φησι καὶ* Τίμων *ἐν τῷ* Πύθωνι, *τὸ μηδὲν ὁρίζειν, ἀλλὰ ἀπροσθετεῖν.*

37 IX 105 f. *ὁ* Τίμων *ἐν τῷ* Πύθωνί *φησι μὴ ἐκβεβηκέναι (τὸν* Πύρρωνα*) τὴν συνήθειαν. καὶ ἐν τοῖς ἰνδαλμοῖς οὕτω λέγει,*

> *ἀλλὰ τὸ φαινόμενον πάντῃ σθένει οὗπερ ἂν ἔλθῃ.*

καὶ ἐν τοῖς περὶ αἰσθήσεών φησι, Τὸ *μέλι ὅτι ἐστὶ γλυκύ, οὐ τίθημι· τὸ δ᾽ ὅτι φαίνεται, ὁμολογῶ. καὶ* Αἰνεσίδημος *ἐν τῷ πρώτῳ τῶν* Πυρρωνείων *λόγων οὐδέν φησιν ὁρίζειν τὸν* Πύρρωνα *δογματικῶς διὰ τὴν ἀντιλογίαν, τοῖς δὲ φαινομένοις ἀκολουθεῖν.* Compare 108 *αἱρούμεθά τι κατὰ τὴν συνήθειαν καὶ φεύγομεν καὶ νόμοις χρώμεθα.*

38 IX 107 f. *τέλος δὲ οἱ σκεπτικοί φασι τὴν ἐποχήν, ᾗ σκιᾶς τρόπον ἐπακολουθεῖ ἡ ἀταραξία . . . τινὲς δὲ καὶ τὴν ἀπάθειαν, ἄλλοι δὲ τὴν πρᾳότητα τέλος εἰπεῖν φασι τοὺς σκεπτικούς.*

IV EPICURUS 341–270 B.C.

Foundation of the Epicurean School : *circa* 300

39 Diogenes Laertius X 1 f. *Ἐπίκουρος Νεοκλέους καὶ Χαιρεστράτης, Ἀθηναῖος, τῶν δήμων Γαργήττιος, γένους τοῦ τῶν Φιλαιδῶν, ὥς φησι Μητρόδωρος ἐν τῷ περὶ εὐγενείας. τοῦτόν φασιν ἄλλοι τε καὶ Ἡρακλείδης ἐν τῇ Σωτίωνος ἐπιτομῇ, κληρουχησάντων Ἀθηναίων τὴν Σάμον, ἐκεῖ τραφῆναι· ὀκτωκαιδεκέτη δ᾽ ἐλθεῖν εἰς Ἀθήνας, Ξενοκράτους μὲν ἐν Ἀκαδημίᾳ, Ἀριστοτέλους δ᾽ ἐν Χαλκίδι διατρίβοντος. τελευτήσαντος δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ τῶν Ἀθηναίων ἐκπεσόντων ὑπὸ Περδίκκου μετελθεῖν εἰς Κολοφῶνα πρὸς τὸν πατέρα. χρόνον δέ τινα διατρίψαντα αὐτόθι καὶ μαθητὰς ἀθροίσαντα πάλιν ἐπανελθεῖν εἰς Ἀθήνας ἐπὶ Ἀναξικράτους· καὶ μέχρι μέν τινος κατ᾽ ἐπιμιξίαν τοῖς ἄλλοις φιλοσοφεῖν, ἔπειτα ἰδίᾳ πως τὴν ἀπ᾽ αὐτοῦ κληθεῖσαν αἵρεσιν συστήσασθαι.*

40 Athenaeus XIII 588 A *καὶ πρῶτόν γε μνησθήσομαι τοῦ φιλαληθεστάτου Ἐπικούρου· ὅστις ἐγκυκλίου παιδείας ἀμύητος ὢν ἐμακάριζε καὶ τοὺς ὁμοίως αὐτῷ ἐπὶ φιλοσοφίαν παρερχομένους, τοιαύτας φωνὰς προϊέμενος* "Μακαρίζω *σε, ὦ οὗτος, ὅτι καθαρὸς πάσης αἰτίας ἐπὶ φιλοσοφίαν ὥρμησας." ὅθεν αὐτὸν καὶ ὁ* Τίμων *φησὶ*

> *γραμμοδιδασκαλίδην ἀναγωγότατον ζωόντων.*

Compare Epicurus apud Diogenem Laertium X 6 *παιδείαν δὲ πᾶσαν, μακάριε, φεῦγε τἀκάτιον ἀράμενος.*

41 Diogenes Laertius X 8–10 *καὶ αὐτὸν Ἐπίκουρον (φησὶν ὁ Τιμοκράτης) ἐν ταῖς ἐπιστολαῖς περὶ Ναυσιφάνους λέγειν·* "Ταῦτα *ἤγαγεν αὐτὸν εἰς ἔκστασιν τοιαύτην, ὥστε μοι λοιδορεῖσθαι, καὶ ἀποκαλεῖν διδάσκαλον."* Πλεύμονά *τε*

αὐτὸν ἐκάλει, καὶ ἀγράμματον, καὶ ἀπατεῶνα, καὶ πόρνην· τούς τε περὶ Πλάτωνα Διονυσοκόλακας, καὶ αὐτὸν Πλάτωνα χρυσοῦν, καὶ Ἀριστοτέλην ἄσωτον, <ὃν> καταφαγόντα τὴν πατρῴαν οὐσίαν στρατεύεσθαι καὶ φαρμακοπωλεῖν· φορμοφόρον τε Πρωταγόραν καὶ γραφέα Δημοκρίτου καὶ ἐν κώμαις γράμματα διδάσκειν· Ἡράκλειτόν τε κυκητήν· καὶ Δημόκριτον Ληρόκριτον· καὶ Ἀντίδωρον Σαννίδωρον· τούς τε Κυνικοὺς ἐχθροὺς τῆς Ἑλλάδος· καὶ τοὺς διαλεκτικοὺς πολυφθόρους· Πύρρωνα δὲ ἀμαθῆ καὶ ἀπαίδευτον. μεμήνασι δὲ οὗτοι. τῷ γὰρ ἀνδρὶ μάρτυρες ἱκανοὶ τῆς ἀνυπερβλήτου πρὸς πάντας εὐγνωμοσύνης ἥ τε πατρὶς χαλκαῖς εἰκόσι τιμήσασα, οἵ τε φίλοι τοσοῦτοι τὸ πλῆθος ὡς μηδ' ἂν πόλεσιν ὅλαις μετρεῖσθαι δύνασθαι, οἵ τε γνώριμοι πάντες ταῖς δογματικαῖς αὐτοῦ σειρῆσι προσκατασχεθέντες, πλὴν Μητροδώρου τοῦ Στρατονικέως πρὸς Καρνεάδην ἀποχωρήσαντος, τάχα βαρυνθέντος ταῖς ἀνυπερβλήτοις αὐτοῦ χρηστότησιν· ἥ τε διαδοχή, πασῶν σχεδὸν ἐκλιπουσῶν τῶν ἄλλων, ἐς ἀεὶ διαμένουσα καὶ νηρίθμους ἀρχὰς ἀπολύουσα ἄλλην ἐξ ἄλλης τῶν γνωρίμων. ἥ τε πρὸς τοὺς γονέας εὐχαριστία, καὶ ἡ πρὸς τοὺς ἀδελφοὺς εὐποιία, πρός τε τοὺς οἰκέτας ἡμερότης, ὡς δῆλον κἀκ τῶν διαθηκῶν αὐτοῦ καὶ ὅτι αὐτοὶ συνεφιλοσόφουν αὐτῷ, ὧν ἦν ἐνδοξότατος ὁ προειρημένος Μῦς· καθόλου τε ἡ πρὸς πάντας αὐτοῦ φιλανθρωπία. τῆς μὲν γὰρ πρὸς θεοὺς ὁσιότητος καὶ πρὸς πατρίδα φιλίας ἄλεκτος ἡ διάθεσις. ὑπερβολῇ γὰρ ἐπιεικείας οὐδὲ πολιτείας ἥψατο. καὶ χαλεπωτάτων δὲ καιρῶν κατασχόντων τηνικάδε τὴν Ἑλλάδα αὐτόθι καταβιῶναι, δὶς ἢ τρὶς τοὺς περὶ τὴν Ἰωνίαν τόπους πρὸς τοὺς φίλους διαδραμόντα· οἳ καὶ πανταχόθεν πρὸς αὐτὸν ἀφικνοῦντο, καὶ συνεβίουν αὐτῷ ἐν τῷ κήπῳ, καθά φησι καὶ Ἀπολλόδωρος· ὃν καὶ ὀγδοήκοντα μνῶν πρίασθαι.

42 x 11 Ἐπίκουρον (φησὶν ὁ Διοκλῆς) μὴ ἀξιοῦν εἰς τὸ κοινὸν κατατίθεσθαι τὰς οὐσίας, καθάπερ τὸν Πυθαγόραν κοινὰ τὰ φίλων λέγοντα· ἀπιστούντων γὰρ εἶναι τὸ τοιοῦτον, εἰ δ' ἀπίστων, οὐδὲ φίλων.

43 Numenius apud Eusebii *praeparationem evangelicam* xiv 5. 3 ἐν οὐδενὶ μὲν ὤφθησαν (οἱ Ἐπικούρειοι) Ἐπικούρῳ ἐναντία θέμενοι οὐδαμῶς, ὁμολογήσαντες δὲ εἶναι σοφῷ συνδεδογμένοι καὶ αὐτοὶ διὰ τοῦτο ἀπέλαυσαν τῆς προσρήσεως εἰκότως· ὑπῆρξέ τε ἐκ τοῦ ἐπὶ πλεῖστον τοῖς μετέπειτα Ἐπικουρείοις μηδ' αὐτοῖς εἰπεῖν πω ἐναντίον οὔτε ἀλλήλοις οὔτε Ἐπικούρῳ μηδὲν εἰς μηδέν, ὅτου καὶ μνησθῆναι ἄξιον· ἀλλ' ἔστιν αὐτοῖς παρανόμημα, μᾶλλον δὲ ἀσέβημα, καὶ κατέγνωσται τὸ καινοτομηθέν. καὶ διὰ τοῦτο οὐδεὶς οὐδὲ τολμᾷ, κατὰ πολλὴν δὲ εἰρήνην αὐτοῖς ἠρεμεῖ τὰ δόγματα ὑπὸ τῆς ἐν ἀλλήλοις αἰεί ποτε συμφωνίας. ἔοικέ τε ἡ Ἐπικούρου διατριβὴ πολιτείᾳ τινὶ ἀληθεῖ, ἀστασιαστοτάτῃ, κοινὸν ἕνα νοῦν, μίαν γνώμην ἐχούσῃ.

44 Lucretius v 1–12

quis potis est dignum pollenti pectore carmen
condere pro rerum maiestate hisque repertis?
quisve valet verbis tantum qui fingere laudes
pro meritis eius possit qui talia nobis
pectore parta suo quaesitaque praemia liquit?
nemo, ut opinor, erit mortali corpore cretus.
nam si, ut ipsa petit maiestas cognita rerum,
dicendum est, deus ille fuit, deus, inclyte Memmi,
qui princeps vitae rationem invenit eam quae
nunc appellatur sapientia, quique per artem
fluctibus e tantis vitam tantisque tenebris
in tam tranquillo et tam clara luce locavit.

Compare i 62–79, iii 1–30 et al.

Philosophy and its parts

45 Sextus Empiricus xi 169 Ἐπίκουρος . . . ἔλεγε τὴν φιλοσοφίαν ἐνέργειαν εἶναι λόγοις καὶ διαλογισμοῖς τὸν εὐδαίμονα βίον περιποιοῦσαν.

Definition of philosophy

46 Diogenes Laertius x 30 διαιρεῖται τοίνυν (ἡ κατ' Ἐπίκουρον φιλοσοφία) εἰς τρία, τό τε κανονικὸν καὶ φυσικὸν καὶ ἠθικόν. . . . εἰώθασι μέντοι τὸ κανονικὸν ὁμοῦ τῷ φυσικῷ τάττειν. καλοῦσι δ' αὐτὸ περὶ κριτηρίου καὶ ἀρχῆς,

Division of philosophy into Canonic, Physics, and Ethics

καὶ στοιχειωτικόν· τὸ δὲ φυσικὸν περὶ γενέσεως καὶ φθορᾶς, καὶ περὶ φύσεως· τὸ δὲ ἠθικὸν περὶ αἱρετῶν καὶ φευκτῶν, καὶ περὶ βίων καὶ τέλους.

Canonic

47 Cicero *de finibus* I 22 iam in altera philosophiae parte, quae est quaerendi ac disserendi, quae λογική dicitur, iste vester plane, ut mihi quidem videtur, inermis ac nudus est. tollit definitiones; nihil de dividendo ac partiendo docet; non, quo modo efficiatur concludaturque ratio, tradit; non, qua via captiosa solvantur, ambigua distinguantur, ostendit: iudicia rerum in sensibus ponit, quibus si semel aliquid falsi pro vero probatum sit, sublatum esse omne iudicium veri et falsi putat.

The test of truth

48 Diogenes Laertius X 31 ἐν τοίνυν τῷ Κάνονι λέγων ἐστὶν ὁ Ἐπίκουρος κριτήρια τῆς ἀληθείας εἶναι τὰς αἰσθήσεις καὶ προλήψεις καὶ τὰ πάθη.

αἴσθησις

49 Sextus Empiricus VII 216 πάντων δὲ κρηπὶς καὶ θεμέλιος ἡ ἐνάργεια.

50 ibid. 204 τὸ γὰρ ὁρατὸν οὐ μόνον φαίνεται ὁρατόν, ἀλλὰ καὶ ἔστι τοιοῦτον ὁποῖον φαίνεται· καὶ τὸ ἀκουστὸν οὐ μόνον φαίνεται ἀκουστόν, ἀλλὰ καὶ ταῖς ἀληθείαις τοιοῦτον ὑπῆρχεν, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Compare Epicurus apud Diogenem Laertium X 32 τά τε τῶν μαινομένων φαντάσματα καὶ <τὰ> κατ᾽ ὄναρ ἀληθῆ· κινεῖ γάρ· τὸ δὲ μὴ ὂν οὐ κινεῖ.

51 Epicurus apud Diogenem Laertium X 147 εἴ τιν᾽ ἐκβαλεῖς ἁπλῶς αἴσθησιν, καὶ μὴ διαιρήσεις τὸ δοξαζόμενον καὶ τὸ προσμένον καὶ τὸ παρὸν ἤδη κατὰ τὴν αἴσθησιν καὶ τὰ πάθη καὶ πᾶσαν φανταστικὴν ἐπιβολὴν τῆς διανοίας, συνταράξεις καὶ τὰς λοιπὰς αἰσθήσεις τῇ ματαίῳ δόξῃ, ὥστε τὸ κριτήριον ἅπαν ἐκβαλεῖς. εἰ δὲ βεβαιώσεις καὶ τὸ προσμένον ἅπαν ἐν ταῖς δοξαστικαῖς ἐννοίαις καὶ τὸ μὴ τὴν ἐπιμαρτύρησιν, οὐκ ἐκλείψει τὸ διεψευσμένον· ὡς τετηρηκὼς (ὥστ᾽ ἀνῃρηκὼς Usener) ἔσῃ πᾶσαν ἀμφισβήτησιν καὶ πᾶσαν κρίσιν τοῦ ὀρθῶς ἢ μὴ ὀρθῶς. Compare Sextus Empiricus VII 206–210.

πρόληψις

52 Cicero *natura deorum* I 43 anticipationem quandam . . . quam appellat πρόληψιν Epicurus, id est anteceptam animo rei quandam informationem, sine qua nec intellegi quicquam nec quaeri nec disputari potest.

53 Diogenes Laertius X 33 τὴν δὲ πρόληψιν λέγουσιν οἱονεὶ κατάληψιν ἢ δόξαν ὀρθὴν ἢ ἔννοιαν ἢ καθολικὴν νόησιν ἐναποκειμένην, τουτέστι μνήμην τοῦ πολλάκις ἔξωθεν φανέντος· οἷον τὸ "τοιοῦτόν ἐστιν ἄνθρωπος"· ἅμα γὰρ τῷ ῥηθῆναι ἄνθρωπος, εὐθὺς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτοῦ νοεῖται προηγουμένων τῶν αἰσθήσεων. παντὶ οὖν ὀνόματι τὸ πρώτως ὑποτεταγμένον ἐναργές ἐστι. καὶ οὐκ ἂν ἐζητήσαμεν τὸ ζητούμενον, εἰ μὴ πρότερον ἐγνώκειμεν αὐτό· οἷον "τὸ πόρρω ἑστὼς ἵππος ἐστὶν ἢ βοῦς"· δεῖ γὰρ κατὰ πρόληψιν ἐγνωκέναι ποτὲ ἵππου καὶ βοὸς μορφήν. οὐδ᾽ ἂν ὠνομάσαμέν τι μὴ πρότερον αὐτοῦ κατὰ πρόληψιν τὸν τύπον μαθόντες. ἐναργεῖς οὖν εἰσιν αἱ προλήψεις. καὶ τὸ δοξαστὸν ἀπὸ προτέρου τινὸς ἐναργοῦς ἤρτηται, ἐφ᾽ ὃ ἀναφέροντες λέγομεν· οἷον "πόθεν ἴσμεν εἰ τοῦτό ἐστιν ἄνθρωπος;"

πάθη

54 ibid. 34 πάθη δὲ λέγουσιν εἶναι δύο, ἡδονὴν καὶ ἀλγηδόνα, ἱστάμενα περὶ πᾶν ζῷον· καὶ τὴν μὲν οἰκεῖον, τὴν δὲ ἀλλότριον· δι᾽ ὧν κρίνεσθαι τὰς αἱρέσεις καὶ φυγάς.

ὑπόληψις

55 ibid. τὴν δὲ δόξαν καὶ ὑπόληψιν λέγουσιν. ἀληθῆ τέ φασι καὶ ψευδῆ· ἂν μὲν γὰρ ἐπιμαρτυρῆται, ἢ μὴ ἀντιμαρτυρῆται, ἀληθῆ εἶναι· ἐὰν δὲ μὴ ἐπιμαρτυρῆται ἢ ἀντιμαρτυρῆται, ψευδῆ τυγχάνειν. ὅθεν <τὸ> προσμένον εἰσήχθη· οἷον τὸ προσμεῖναι καὶ ἐγγὺς γενέσθαι τῷ πύργῳ καὶ μαθεῖν ὁποῖος ἐγγὺς φαίνεται. Compare Sextus Empiricus VII 211 ff. οὐκοῦν τῶν δοξῶν κατὰ τὸν Ἐπίκουρον αἱ μὲν ἀληθεῖς εἰσιν, αἱ δὲ ψευδεῖς, ἀληθεῖς μὲν αἵ τε ἐπιμαρτυρούμεναι καὶ οὐκ ἀντιμαρτυρούμεναι πρὸς τῆς ἐναργείας, ψευδεῖς δὲ αἵ τε ἀντιμαρτυρούμεναι καὶ οὐκ ἐπιμαρτυρούμεναι πρὸς τῆς ἐναργείας. ἔστι δὲ ἐπιμαρτύρησις μὲν κατάληψις δι᾽ ἐναργείας τοῦ τὸ δοξαζόμενον τοιοῦτον εἶναι ὁποῖόν ποτε ἐδοξάζετο, οἷον Πλάτωνος μακρόθεν προσιόντος εἰκάζω μὲν καὶ δοξάζω παρὰ τὸ διάστημα ὅτι Πλάτων ἐστί, προσπελάσαντος δὲ αὐτοῦ προσεμαρτυρήθη ὅτι ὁ Πλάτων ἐστί, συναιρεθέντος

τοῦ διαστήματος, καὶ ἐπεμαρτυρήθη δι' αὐτῆς τῆς ἐναργείας. οὐκ ἀντιμαρτύρησις δέ ἐστιν ἀκολουθία τοῦ ὑποσταθέντος καὶ δοξασθέντος ἀδήλου τῷ φαινομένῳ, οἷον ὁ Ἐπίκουρος λέγων εἶναι κενόν, ὅπερ ἐστὶν ἄδηλον, πιστοῦται δι' ἐναργοῦς πράγματος τοῦτο, τῆς κινήσεως· μὴ ὄντος γὰρ κενοῦ οὐδὲ κίνησις ὤφειλεν εἶναι, τόπον μὴ ἔχοντος τοῦ κινουμένου σώματος εἰς ὃν περιστήσεται διὰ τὸ πάντα πλήρη εἶναι καὶ ναστά, ὥστε τῷ δοξασθέντι ἀδήλῳ μὴ ἀντιμαρτυρεῖν τὸ φαινόμενον κινήσεως οὔσης. ἡ μέντοι ἀντιμαρτύρησις μαχόμενόν τί ἐστι τῇ οὐκ ἀντιμαρτυρήσει . . . ὡσαύτως δὲ καὶ ἡ οὐκ ἐπιμαρτύρησις ἀντίξους ἐστὶ τῇ ἐπιμαρτυρήσει.

56 Lucretius v 526–533

nam quid in hoc mundo sit eorum ponere certum
difficile est; sed quid possit fiatque per omne
in variis mundis varia ratione creatis,
id doceo plurisque sequor disponere causas,
motibus astrorum quae possint esse per omne;
e quibus una tamen sit in hoc quoque causa necessest
quae vegeat motum signis; sed quae sit earum
praecipere hautquaquamst pedetemtim progredientis.

See Munro's note on this passage.

Physics

Reasons for studying physics

57 Epicurus apud Diogenem Laertium x 142 f. εἰ μηθὲν ἡμᾶς αἱ τῶν μετεώρων ὑποψίαι ἠνώχλουν καὶ αἱ περὶ θανάτου, μή ποτε πρὸς ἡμᾶς ᾖ τι, ἔτι τε τὸ μὴ κατανοεῖν τοὺς ὅρους τῶν ἀλγηδόνων καὶ τῶν ἐπιθυμιῶν, οὐκ ἂν προσεδεόμεθα φυσιολογίας. οὐκ ἦν τὸ φοβούμενον λύειν ὑπὲρ τῶν κυριωτάτων μὴ κατειδότα τίς ἡ τοῦ σύμπαντος φύσις, ἀλλ' ὑποπτευόμενόν τι τῶν κατὰ τοὺς μύθους. ὥστε οὐκ ἦν ἄνευ φυσιολογίας ἀκεραίους τὰς ἡδονὰς ἀπολαμβάνειν.

ex nihilo nihil fit

58 I 38 οὐδὲν γίνεται ἐκ τοῦ μὴ ὄντος. πᾶν γὰρ ἐκ παντὸς ἐγίνετ' ἂν σπερμάτων γε οὐθὲν προσδεόμενον. καὶ εἰ ἐφθείρετο δὲ τὸ ἀφανιζόμενον εἰς τὸ μὴ ὄν, πάντα ἂν ἀπωλώλει τὰ πράγματα, οὐκ ὄντων εἰς ἃ διελύετο. Compare Lucretius I 149–264.

Atoms and void

59 Aetius I 3. 18 ff. pp. 285 f. Diels Ἐπίκουρος . . . κατὰ Δημόκριτον φιλοσοφήσας ἔφη τὰς ἀρχὰς τῶν ὄντων σώματα λόγῳ θεωρητά, ἀμέτοχα κενοῦ, ἀγένητα, ἀδιάφθαρτα, οὔτε θραυσθῆναι δυνάμενα οὔτε διάπλασιν ἐκ τῶν μερῶν λαβεῖν οὔτε ἀλλοιωθῆναι . . . ταῦτα μέντοι κινεῖσθαι ἐν τῷ κενῷ καὶ διὰ τοῦ κενοῦ· εἶναι δὲ καὶ αὐτὸ τὸ κενὸν ἄπειρον καὶ τὰ σώματα ἄπειρα· συμβεβηκέναι δὲ τοῖς σώμασι τρία ταῦτα, σχῆμα, μέγεθος, βάρος . . . εἶναι δὲ τὰ σχήματα τῶν ἀτόμων ἀπερίληπτα, οὐκ ἄπειρα. μὴ γὰρ εἶναι μήτ' ἀγκιστροειδεῖς μήτε τριαινοειδεῖς μήτε κρικοειδεῖς· ταῦτα γὰρ τὰ σχήματα εὔθραυστά ἐστιν, αἱ δὲ ἄτομοι ἀπαθεῖς ἄθραυστοι. ἴδια δὲ ἔχειν σχήματα λόγῳ θεωρητά. καὶ εἴρηται ἄτομος οὐχ ὅτι ἐστὶν ἐλαχίστη ἀλλ' ὅτι οὐ δύναται τμηθῆναι, ἀπαθὴς οὖσα καὶ ἀμέτοχος κενοῦ. Compare Epicurus apud Diogenem Laertium x 39–44, 54–59, and Lucretius I 329–397, 418–634, 958–1051, II 80–164, 333–568, 730–864.

60 Epicurus apud Diogenem Laertium x 61 καὶ μὴν καὶ ἰσοταχεῖς ἀναγκαῖον τὰς ἀτόμους εἶναι, ὅταν διὰ τοῦ κενοῦ εἰσφέρωνται μηθενὸς ἀντικόπτοντος. οὔτε γὰρ τὰ βαρέα θᾶττον οἰσθήσεται τῶν μικρῶν καὶ κούφων, ὅταν γε δὴ μηδὲν ἀπαντᾷ αὐτοῖς· οὔτε τὰ μικρὰ <βραδύτερον> τῶν μεγάλων, πάντα πόρον σύμμετρον ἔχοντα, ὅταν μηθὲν μηδὲ ἐκείνοις ἀντικόπτῃ· οὔθ' ἡ ἄνω οὔθ' ἡ εἰς τὸ πλάγιον διὰ τῶν κρούσεων φορά, οὔθ' ἡ κάτω διὰ τῶν ἰδίων βαρῶν. Compare Lucretius II 225–242.

Deviation of atoms

61 Lucretius II 243–250

etiam atque etiam paulum inclinare necessest
corpora; nec plus quam minimum, ne fingere motus
obliquos videamur et id res vera refutet.
namque hoc in promptu manifestumque esse videmus,
pondera, quantum in sest, non posse obliqua meare,
ex supero cum praecipitant, quod cernere possis.
sed nil omnino recta regione viai
declinare quis est qui possit cernere sese?

62 Stobaeus *eclogae* I 346 p. 142 Wachsmuth κινεῖσθαι δὲ τὰ ἄτομα τότε μὲν κατὰ στάθμην, τότε δὲ κατὰ παρέγκλισιν. Cicero *de finibus* I 18 censet enim (Epicurus)

eadem illa individua et solida corpora ferri deorsum suo pondere ad lineam; hunc naturalem esse omnium corporum motum. deinde ibidem homo acutus, cum illud occurreret, si omnia deorsum e regione ferrentur et, ut dixi, ad lineam, numquam fore ut atomus altera alteram posset attingere, itaque attulit rem commenticiam: declinare dixit atomum perpaulum, quo nihil posset fieri minus; ita effici complexiones et copulationes et adhaesiones atomorum inter se, ex quo efficeretur mundus omnesque partes mundi quaeque in eo essent. Compare Lucretius II 216–224.

63 Cicero *natura deorum* I 69 Epicurus, cum videret, si atomi ferrentur in locum inferiorem suopte pondere, nihil fore in nostra potestate, quod esset earum motus certus et necessarius, invenit quo modo necessitatem effugeret, quod videlicet Democritum fugerat. ait atomum, cum pondere et gravitate derecto deorsus feratur, declinare paullulum. Compare *de fato* 22 hanc Epicurus rationem induxit ob eam rem, quod veritus est ne si semper motus gravitate ferretur naturali ac necessaria, nihil liberum nobis esset, cum ita moveretur animus, ut atomorum motu cogeretur: also Lucretius II 251–293, especially 289–293:—

ne mens ipsa necessum
intestinum habeat cunctis in rebus agendis
et devicta quasi hoc cogatur ferre patique,
id facit exiguum clinamen principiorum
nec regione loci certa nec tempore certo.

64 Epicurus apud Diogenem Laertium x 134 *κρεῖττον ἦν τῷ περὶ θεῶν μύθῳ κατακολουθεῖν ἢ τῇ τῶν φυσικῶν εἱμαρμένῃ δουλεύειν· ὃ μὲν γὰρ ἐλπίδα παραιτήσεως ὑπογράφει θεῶν διὰ τιμῆς, ἡ δὲ ἀπαραίτητον ἔχει τὴν ἀνάγκην.*

Formation of the world

65 [Plutarch] *de placitis philosophorum* I 4 p. 215 f. Usener *ὁ τοίνυν κόσμος συνέστη περικεκλασμένῳ σχήματι ἐσχηματισμένος τὸν τρόπον τοῦτον. τῶν ἀτόμων σωμάτων ἀπρονόητον καὶ τυχαίαν ἐχόντων τὴν κίνησιν συνεχῶς τε καὶ τάχιστα κινουμένων, εἰς τὸ αὐτὸ πολλὰ σώματα συνηθροίσθη διὰ τοῦτο ποικιλίαν ἔχοντα καὶ σχημάτων καὶ μεγεθῶν <καὶ βαρῶν>. ἀθροιζομένων δ' ἐν ταὐτῷ τούτων τὰ μὲν ὅσα μείζονα ἦν καὶ βαρύτερα πάντως ὑπεκάθιζεν·*

ὅσα δὲ μικρὰ καὶ περιφερῆ καὶ λεῖα καὶ εὐόλισθα, ταῦτα καὶ ἐξεθλίβετο κατὰ τὴν σύνοδον τῶν ἀτόμων εἴς τε τὸ μετέωρον ἀνεφέρετο. ὡς δ' οὖν ἐξέλειπε μὲν ἡ πληκτικὴ δύναμις μετεωρίζουσα οὐκέτι τε ἦγεν ἡ πληγὴ πρὸς τὸ μετέωρον, ἐκωλύετο δὲ ταῦτα κάτω φέρεσθαι, ἐπιέζετο πρὸς τοὺς τόπους τοὺς δυναμένους δέξασθαι· οὗτοι δὲ ἦσαν οἱ πέριξ, καὶ πρὸς τούτοις τὸ πλῆθος τῶν σωμάτων περιεκλᾶτο· περιπλεκόμενα δὲ ἀλλήλοις κατὰ τὴν περίκλασιν τὸν οὐρανὸν ἐγέννησε. τῆς δ' αὐτῆς ἐχόμεναι φύσεως αἱ ἄτομοι ποικίλαι οὖσαι, καθὼς εἴρηται, πρὸς τὸ μετέωρον ἐξωθούμεναι τὴν τῶν ἀστέρων φύσιν ἀπετέλουν· τὸ δὲ πλῆθος τῶν ἀναθυμιωμένων σωμάτων ἔπληττε τὸν ἀέρα καὶ τοῦτον ἐξέθλιβε· πνευματούμενος δὲ οὗτος κατὰ τὴν κίνησιν καὶ συμπεριλαμβάνων τὰ ἄστρα συμπεριῆγεν αὐτὰ καὶ τὴν νῦν περιφορὰν αὐτῶν μετέωρον ἐφείλιττε. κἄπειτα ἐκ μὲν τῶν ὑποκαθιζόντων ἐγεννήθη ἡ γῆ, ἐκ δὲ τῶν μετεωριζομένων οὐρανός, πῦρ, ἀήρ. πολλῆς δὲ ὕλης ἔτι περιειλημμένης ἐν τῇ γῇ πυκνουμένης τε ταύτης κατὰ τὰς ἀπὸ τῶν σωμάτων πληγὰς καὶ τὰς ἀπὸ τῶν ἄστρων αὐγὰς προσεθλίβετο πᾶς ὁ μικρομερὴς σχηματισμὸς ταύτης καὶ τὴν ὑγρὰν φύσιν ἐγέννα· ῥευστικῶς δὲ αὕτη διακειμένη κατεφέρετο πρὸς τοὺς κοίλους τόπους καὶ δυναμένους χωρῆσαί τε καὶ στέξαι, ἢ καθ' αὑτὸ τὸ ὕδωρ ὑποστὰν ἐκοίλαινε τοὺς ὑποκειμένους τόπους. τὰ μὲν οὖν κυριώτατα μέρη τοῦ κόσμου τὸν τρόπον τοῦτον ἐγεννήθη. Compare Lucretius v 416–508.

Plurality of worlds

66 Epicurus apud Diogenem Laertium x 45 *ἀλλὰ μὴν καὶ κόσμοι ἄπειροί εἰσιν οἵ θ' ὅμοιοι τούτῳ καὶ οἱ ἀνόμοιοι.* ibid. 73 *τοὺς κόσμους δεῖ καὶ πᾶσαν σύγκρισιν πεπερασμένην τὸ ὁμοιοειδὲς τοῖς θεωρουμένοις πυκνῶς ἔχουσαν νομίζειν γεγονέναι ἀπὸ τοῦ ἀπείρου, πάντων τούτων ἐκ συστροφῶν ἰδίων ἀποκεκριμένων καὶ μειζόνων καὶ ἐλαττόνων· καὶ πάλιν διαλύεσθαι πάντα, τὰ μὲν θᾶττον, τὰ δὲ βραδύτερον· καὶ τὰ μὲν ὑπὸ τῶν τοιῶνδε, τὰ δὲ ὑπὸ τῶν τοιῶνδε πάσχοντα.* Compare Cicero *de finibus* I 21 innumerabiles mundi, qui et oriantur et intereant cotidie, and Lucretius II 1048–1089, 1105–1174.

67 Censorinus *de die natali* 4. 9 Democrito vero Abderitae

ex aqua limoque primum visum esse homines procreatos. nec longe secus Epicurus: is enim credidit limo calfacto uteros nescio quos radicibus terrae cohaerentes primum increvisse et infantibus ex se editis ingenitum lactis umorem natura ministrante praebuisse, quos ita educatos et adultos genus hominum propagasse.

Survival of the fittest

68 Lucretius v 855

multaque tum interiisse animantum saecla necessest
nec potuisse propagando procudere prolem.
nam quaecumque vides vesci vitalibus auris,
aut dolus aut virtus aut denique mobilitas est
ex ineunte aevo genus id tutata reservans.

Compare 862–924.

Growth of civilisation

69 See Lucretius v 925–1457.

The soul

70 Epicurus apud Diogenem Laertium x 67 *οἱ λέγοντες ἀσώματον εἶναι τὴν ψυχὴν ματᾴζουσιν. οὐθὲν γὰρ ἂν ἐδύνατο ποιεῖν οὔτε πάσχειν, εἰ ἦν τοιαύτη· νῦν δ' ἐναργῶς ἀμφότερα ταῦτα συμβαίνει περὶ τὴν ψυχὴν τὰ συμπτώματα.* Compare Lucretius III 161–176.

71 Epicurus fragment 311 Usener *λέγει* (*'Επίκουρος*) . . . *ἐξ ἀτόμων συγκεῖσθαι* (*τὴν ψυχὴν*) *λειοτάτων καὶ στρογγυλωτάτων, πολλῷ τινι διαφερουσῶν τῶν τοῦ πυρός· καὶ τὸ μέν τι ἄλογον αὐτῆς, ὃ τῷ λοιπῷ παρεσπάρθαι σώματι· τὸ δὲ λογικὸν ἐν τῷ θώρακι, ὡς δῆλον ἔκ τε τῶν φόβων καὶ τῆς χαρᾶς.* Compare Lucretius III 145–160, 177–230, 396–416.

72 Lucretius III 136–144

nunc animum atque animam dico coniuncta teneri
inter se atque unam naturam conficere ex se,
sed caput esse quasi et dominari in corpore toto
consilium quod nos animum mentemque vocamus.
idque situm media regione in pectoris haeret.
hic exultat enim pavor ac metus, haec loca circum
laetitiae mulcent; hic ergo mens animusquest.
cetera pars animae per totum dissita corpus
paret et ad numen mentis momenque movetur.

73 Aetius IV 11 p. 388 Diels *'Επίκουρος* (*τὴν ψυχὴν εἶναι*) *κρᾶμα ἐκ τεττάρων, ἐκ ποίου πυρώδους, ἐκ ποίου*

ἀερώδους, ἐκ ποίου πνευματικοῦ, ἐκ τετάρτου τινὸς ἀκατονομάστου, ὃ ἦν αὐτῷ αἰσθητικόν. Compare Lucretius III 231–322, where these elements are made the basis of the *animus* or *mens* (i.q. *τὸ λογικόν*).

74 Lucretius III 279–281

nominis haec expers vis facta minutis
corporibus latet atque animae quasi totius ipsa
proporrost anima et dominatur corpore toto.

Perception and thought

75 Cicero *de finibus* I 21 quae sequitur, sunt tota Democriti . . . imagines, quae *εἴδωλα* nominant, quorum incursione non solum videamus, sed etiam cogitemus.

76 Epicurus apud Diogenem Laertium 46–53 *καὶ μὴν καὶ τύποι ὁμοιοσχήμονες τοῖς στερεμνίοις εἰσί, λεπτότησιν ἀπέχοντες μακρὰν τῶν φαινομένων. . . . τούτους δὲ τοὺς τύπους εἴδωλα προσαγορεύομεν. καὶ μὴν καὶ ἡ διὰ τοῦ κενοῦ φορὰ κατὰ μηδεμίαν ἀπάντησιν τῶν ἀντικοψόντων γινομένη πᾶν μῆκος περιληπτὸν ἐν ἀπερινοήτῳ χρόνῳ συντελεῖ. . . . καὶ γὰρ ῥεῦσις ἀπὸ τῶν σωμάτων τοῦ ἐπιπολῆς συνεχής . . . σῴζουσα τὴν ἐπὶ τοῦ στερεμνίου θέσιν καὶ τάξιν τῶν ἀτόμων ἐπὶ πολὺν χρόνον, εἰ καὶ ἐνίοτε συγχεομένη ὑπάρχει. . . . δεῖ δὲ καὶ νομίζειν, ἐπεισιόντος τινὸς ἀπὸ τῶν ἔξωθεν τὰς μορφὰς ὁρᾶν ἡμᾶς καὶ διανοεῖσθαι. . . . τύπων τινῶν ἐπεισιόντων ἡμῖν ἀπὸ τῶν πραγμάτων ὁμοχρόων τε καὶ ὁμοιομόρφων κατὰ τὸ ἐναρμόττον μέγεθος εἰς τὴν ὄψιν ἢ τὴν διάνοιαν. . . . ἀλλὰ μὴν καὶ τὸ ἀκούειν γίνεται ῥεύματός τινος φερομένου ἀπὸ τοῦ φωνοῦντος ἢ ἠχοῦντος ἢ ψοφοῦντος ἢ ὅπως δή ποτε ἀκουστικὸν πάθος παρασκευάζοντος. . . . καὶ μὴν καὶ τὴν ὀσμὴν νομιστέον, ὥσπερ καὶ τὴν ἀκοήν, οὐκ ἄν ποτε οὐθὲν πάθος ἐργάσασθαι, εἰ μὴ ὄγκοι τινὲς ἦσαν ἀπὸ τοῦ πράγματος ἀποφερόμενοι σύμμετροι πρὸς τὸ τοῦτο τὸ αἰσθητήριον κινεῖν.* Compare Lucretius IV 26–268, 522–705, 722–817: and for the action of the soul upon the body 877–906.

The soul does not survive death

77 Epicurus ibid. 65 *λυομένου τοῦ ὅλου ἀθροίσματος ἡ ψυχὴ διασπείρεται.* ibid. 125 *τὸ φρικωδέστατον οὖν τῶν κακῶν ὁ θάνατος οὐθὲν πρὸς ἡμᾶς, ἐπειδήπερ ὅταν μὲν ἡμεῖς ὦμεν, ὁ θάνατος οὐ πάρεστιν· ὅταν δ' ὁ θάνατος παρῇ, τόθ' ἡμεῖς οὐκ ἐσμέν.* Compare Lucretius III 417 ff.

The gods

78 Epicurus ibid. 123 f. *θεοὶ μὲν γὰρ εἰσίν· ἐναργὴς γὰρ αὐτῶν ἐστιν ἡ γνῶσις. οἵους δ' αὐτοὺς <οἱ> πολλοὶ νομίζουσιν, οὐκ εἰσίν· οὐ γὰρ φυλάττουσιν αὐτοὺς οἵους νοοῦσιν. ἀσεβὴς δὲ οὐχ ὁ τοὺς τῶν πολλῶν θεοὺς ἀναιρῶν, ἀλλ' ὁ τὰς τῶν πολλῶν δόξας θεοῖς προσάπτων. οὐ γὰρ προλήψεις εἰσίν, ἀλλ' ὑπολήψεις ψευδεῖς αἱ τῶν πολλῶν ὑπὲρ θεῶν ἀποφάσεις, ἔνθεν αἱ μέγισται βλάβαι τε τοῖς κακοῖς ἐκ θεῶν ἐπάγονται καὶ ὠφέλειαι <τοῖς ἀγαθοῖς>.* Compare Cicero *natura deorum* I 43 and Lucretius I 62–101, V 1161–1240.

79 Aetius I 7. 34 p. 306 Diels *Ἐπίκουρος ἀνθρωποειδεῖς μὲν τοὺς θεούς, λόγῳ δὲ πάντας θεωρητοὺς διὰ τὴν λεπτομέρειαν τῆς τῶν εἰδώλων φύσεως.* Compare Cicero *natura deorum* I 48 f. quod si omnium animantium formam vincit hominis figura, deus autem animans est, ea figura profecto est, quae pulcherrima est omnium; quoniamque deos beatissimos esse constat, beatus autem esse sine virtute nemo potest nec virtus sine ratione constare nec ratio usquam inesse nisi in hominis figura, hominis esse specie deos confitendum est. nec tamen ea species corpus est, sed quasi corpus, nec habet sanguinem, sed quasi sanguinem. See also Cicero l.c. I 71 and Lucretius V 148–151.

80 Cicero *natura deorum* I 50 summa vero vis infinitatis et magna ac diligenti contemplatione dignissima est, in qua intellegi necesse est eam esse naturam, ut omnia omnibus paribus paria respondeant. hanc *ἰσονομίαν* appellat Epicurus, id est aequabilem tributionem. ex hac igitur illud efficitur, si mortalium tanta multitudo sit, esse immortalium non minorem.

81 Epicurus apud Diogenem Laertium X 123 *πρῶτον μὲν τὸν θεὸν ζῷον ἄφθαρτον καὶ μακάριον νομίζων, ὡς ἡ κοινὴ τοῦ θεοῦ νόησις ὑπεγράφη, μηθὲν μήτε τῆς ἀφθαρσίας ἀλλότριον μήτε τῆς μακαριότητος ἀνοίκειον αὐτῷ πρόσαπτε· πᾶν δὲ τὸ φυλάττειν αὐτοῦ δυνάμενον τὴν μετὰ ἀφθαρσίας μακαριότητα περὶ αὐτὸν δόξαζε.* ibid. 139 *τὸ μακάριον καὶ ἄφθαρτον οὔτε αὐτὸ πράγματα ἔχει οὔτε ἄλλῳ παρέχει, ὥστε οὔτε ὀργαῖς οὔτε χάρισι συνέχεται· ἐν ἀσθενεῖ γὰρ πᾶν τὸ τοιοῦτον.* Compare Lucretius II 646–51 and VI 387–422.

82 Cicero *de divinatione* II 40 deos . . . induxit Epicurus perlucidos et perflabiles, et habitantes, tanquam inter duos lucos, sic inter duos mundos. Compare *de finibus* II 75 (intermundia) and *natura deorum* I 18.

83 Lucretius III 18–22

apparet divum numen sedesque quietae
quas neque concutiunt venti nec nubila nimbis
aspergunt neque nix acri concreta pruina
cana cadens violat semperque innubilus aether
integit, et large diffuso lumine rident.

Ethics

The ethical end

84 Epicurus apud Diogenem Laertium X 128 *τὴν ἡδονὴν ἀρχὴν καὶ τέλος λέγομεν εἶναι τοῦ μακαρίως ζῆν. ταύτην γὰρ ἀγαθὸν πρῶτον καὶ συγγενικὸν ἔγνωμεν, καὶ ἀπὸ ταύτης καταρχόμεθα πάσης αἱρέσεως καὶ φυγῆς καὶ ἐπὶ ταύτην καταντῶμεν ὡς κάνονι τῷ πάθει πᾶν ἀγαθὸν κρίνοντες.* Lucretius II 172 dux vitae dia voluptas. Compare Cicero *de finibus* I 29–36, 40–42.

85 Epicurus apud Athenaeum XII 546 F fragment 409 Usener *ἀρχὴ καὶ ῥίζα παντὸς ἀγαθοῦ ἡ τῆς γαστρὸς ἡδονή· καὶ τὰ σοφὰ καὶ τὰ περιττὰ ἐπὶ ταύτην ἔχει τὴν ἀναφοράν.* ibid. 546 E fragment 67 Usener *οὐ γὰρ ἔγωγε ἔχω τί νοήσω τἀγαθόν, ἀφαιρῶν μὲν τὰς διὰ χυλῶν ἡδονάς, ἀφαιρῶν δὲ τὰς δι' ἀφροδισίων, ἀφαιρῶν δὲ τὰς δι' ἀκροαμάτων, ἀφαιρῶν δὲ καὶ τὰς διὰ μορφῆς κατ' ὄψιν ἡδείας κινήσεις.* Compare Cicero *de finibus* II 7, *Tusculanae disputationes* III 41.

86 Epicurus apud Diogenem Laertium X 129 *ἐπεὶ πρῶτον ἀγαθὸν τοῦτο καὶ σύμφυτον, διὰ τοῦτο καὶ οὐ πᾶσαν ἡδονὴν αἱρούμεθα, ἀλλ' ἔστιν ὅτε πολλὰς ἡδονὰς ὑπερβαίνομεν, ὅταν πλεῖον ἡμῖν τὸ δυσχερὲς ἐκ τούτων ἕπηται· καὶ πολλὰς ἀλγηδόνας ἡδονῶν κρείττους νομίζομεν, ἐπειδὰν μείζων ἡμῖν ἡδονὴ παρακολουθῇ πολὺν χρόνον ὑπομείνασι τὰς ἀλγηδόνας. πᾶσα οὖν ἡδονὴ διὰ τὸ φύσιν ἔχειν οἰκείαν ἀγαθόν· οὐ πᾶσα μέντοι αἱρετή· καθάπερ καὶ ἀλγηδὼν πᾶσα κακόν· οὐ πᾶσα δὲ ἀεὶ φευκτὴ πεφυκυῖα.*

87 Aristocles apud Eusebii *praeparationem evangelicam*

XIV 21. 4 fragment 442 Usener *ἄμεινόν ἐστιν (φησὶν Ἐπίκουρος) ὑπομεῖναι τούσδε τινὰς τοὺς πόνους, ὅπως ἡσθῶμεν ἡδονὰς μείζους . . . συμφέρει τῶνδέ τινων ἀπέχεσθαι τῶν ἡδονῶν, ἵνα μὴ ἀλγῶμεν ἀλγήδονας χαλεπωτέρας.* Epicurus apud Diogenem Laertium X 127 *μνημονευτέον δὲ ὡς τὸ μέλλον οὔτε ἡμέτερον οὔτε πάντως οὐχ ἡμέτερον, ἵνα μήτε πάντως προσμένωμεν ὡς ἐσόμενον μήτε ἀπελπίζωμεν ὡς πάντως οὐκ ἐσόμενον.*

88 ibid. 136 *ἡ μὲν γὰρ ἀταραξία καὶ <ἡ> ἀπονία καταστηματικαί εἰσιν ἡδοναί· ἡ δὲ χαρὰ καὶ ἡ εὐφροσύνη κατὰ κίνησιν ἐνεργείᾳ βλέπονται.* Diogenes Laertius II 87 *ἡδονὴν . . . τὴν τοῦ σώματος, ἣν καὶ τέλος εἶναι, οὐ τὴν καταστηματικὴν ἡδονὴν (οἱ Κυρηναικοί φασιν εἶναι), τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων καὶ οἷον ἀνοχλησίαν, ἣν ὁ Ἐπίκουρος ἀποδέχεται καὶ τέλος εἶναί φησι.* Epicurus ibid. X 139 *ὅρος τοῦ μεγέθους τῶν ἡδονῶν ἡ παντὸς τοῦ ἀλγοῦντος ὑπεξαίρεσις.* Compare Cicero *Tusculanae disputationes* III 47, *de finibus* II 16 and I 38 non placuit Epicuro medium esse quiddam inter dolorem et voluptatem: illud enim ipsum, quod quibusdam medium videretur, cum omni dolore careret, non modo voluptatem esse, verum etiam summam voluptatem. quisquis enim sentit, quem ad modum sit adfectus, eum necesse est aut in voluptate esse aut in dolore. omnis autem privatione doloris putat Epicurus terminari summam voluptatem, ut postea variari voluptas distinguique possit, augeri amplificarique non possit.

89 Epicurus apud Diogenem Laertium X 137 fragment 452 Usener *ἔτι πρὸς τοὺς Κυρηναικοὺς διαφέρεται. οἱ μὲν γὰρ χείρους τὰς σωματικὰς ἀλγηδόνας λέγουσι τῶν ψυχικῶν· κολάζεσθαι γοῦν τοὺς ἁμαρτάνοντας σώματι· ὁ δὲ τὰς ψυχικάς· τὴν γοῦν σάρκα τὸ παρὸν μόνον χειμάζειν, τὴν δὲ ψυχὴν καὶ τὸ παρελθὸν καὶ τὸ παρὸν καὶ τὸ μέλλον. οὕτως οὖν καὶ μείζονας ἡδονὰς εἶναι τῆς ψυχῆς.* ibid. 118 fragment 601 Usener *κἂν στρεβλωθῇ δ' ὁ σοφός, εἶναι αὐτὸν εὐδαίμονα.* Compare Cicero *Tusculanae disputationes* II 17 and Seneca *epistulae* 66. 18 Epicurus quoque ait sapientem, si in Phalaridis tauro peruratur, exclamaturum 'dulce est et ad me nihil pertinet.'

Virtue and pleasure

90 Epicurus apud Diogenem Laertium X 132 *οὐ γὰρ πότοι καὶ κῶμοι συνείροντες οὐδ' ἀπολαύσεις παίδων καὶ γυναικῶν οὐδ' ἰχθύων καὶ τῶν ἄλλων ὅσα φέρει πολυτελὴς τράπεζα, τὸν ἡδὺν γεννᾷ βίον, ἀλλὰ νήφων λογισμὸς καὶ τὰς αἰτίας ἐξερευνῶν πάσης αἱρέσεως καὶ φυγῆς καὶ τὰς δόξας ἐξελαύνων, ἐξ ὧν πλεῖστος τὰς ψυχὰς καταλαμβάνει θόρυβος. τούτων δὲ πάντων ἀρχὴ καὶ τὸ μέγιστον ἀγαθὸν φρόνησις. διὸ καὶ φιλοσοφίας τιμιώτερον ὑπάρχει φρόνησις, ἐξ ἧς αἱ λοιπαὶ πᾶσαι πεφύκασιν ἀρεταί, διδάσκουσα ὡς οὐκ ἔστιν ἡδέως ζῆν ἄνευ τοῦ φρονίμως καὶ καλῶς καὶ δικαίως, <οὐδὲ φρονίμως καὶ καλῶς καὶ δικαίως> ἄνευ τοῦ ἡδέως. συμπεφύκασι γὰρ αἱ ἀρεταὶ τῷ ζῆν ἡδέως· καὶ τὸ ζῆν ἡδέως τούτων ἐστὶν ἀχώριστον.* Compare Cicero *de finibus* I 57.

The virtues

91 Diogenes Laertius X 138 *διὰ δὲ τὴν ἡδονὴν καὶ τὰς ἀρετὰς αἱρεῖσθαι, οὐ δι' αὑτάς, ὥσπερ τὴν ἰατρικὴν διὰ τὴν ὑγίειαν.* Epicurus apud Athenaeum XII 546 F fragment 70 Usener *τιμητέον τὸ καλὸν καὶ τὰς ἀρετὰς καὶ τὰ τοιουτότροπα, ἐὰν ἡδονὴν παρασκευάζῃ· ἐὰν δὲ μὴ παρασκευάζῃ, χαίρειν ἐατέον.* Compare ibid. 547 A fragment 512 Usener *προσπτύω τῷ καλῷ καὶ τοῖς κενῶς αὐτὸ θαυμάζουσιν, ὅταν μηδεμίαν ἡδονὴν ποιῇ,* and Cicero *de finibus* I 42–54.

Wisdom

92 Cicero *de finibus* I 42 sapientia, quae ars vivendi putanda est, non expeteretur, si nihil efficeret; nunc expetitur, quod est tamquam artifex conquirendae et comparandae voluptatis.

Temperance

93 ibid. I 48 intellegitur nec intemperantiam propter se esse fugiendam temperantiamque expetendam, non quia voluptates fugiat, sed quia maiores consequatur.

Courage

94 Epicurus apud Diogenem Laertium X 120 fragment 517 Usener *τὴν δὲ ἀνδρείαν φύσει μὴ γίνεσθαι, λογισμῷ δὲ τοῦ συμφέροντος.* Compare Cicero *de finibus* I 34–36, 49.

Justice

95 Epicurus ibid. 151 *ἡ ἀδικία οὐ καθ' ἑαυτὴν κακόν, ἀλλ' ἐν τῷ κατὰ τὴν ὑποψίαν φόβῳ, εἰ μὴ λήσει τοὺς ὑπὲρ τῶν τοιούτων ἐφεστηκότας κολαστάς.* Compare 144 *ὁ δίκαιος ἀταρακτότατος, ὁ δ' ἄδικος πλείστης ταραχῆς γέμων,* and Cicero *de finibus* I 50–53.

The Desires

96 Epicurus ibid. x 149 *τῶν ἐπιθυμιῶν αἱ μέν εἰσι φυσικαὶ <καὶ ἀναγκαῖαι· αἱ δὲ φυσικαὶ> καὶ οὐκ ἀναγκαῖαι· αἱ δὲ οὔτε φυσικαὶ οὔτε ἀναγκαῖαι, ἀλλὰ παρὰ κενὴν δόξαν γινόμεναι.* Cicero *de finibus* I 45 f. quarum (cupiditatum) ea ratio est, ut necessariae nec opera multa nec impensa expleantur; ne naturales quidem multa desiderant, propterea quod ipsa natura divitias, quibus contenta sit, et parabiles et terminatas habet, inanium autem cupiditatum nec modus ullus nec finis inveniri potest. Compare Epicurus apud Diogenem Laertium x 144 *ὁ τῆς φύσεως πλοῦτος καὶ ὥρισται καὶ εὐπόριστός ἐστιν· ὁ δὲ τῶν κενῶν δοξῶν εἰς ἄπειρον ἐκπίπτει.*

Friendship

97 Epicurus ibid. 148 *ὧν ἡ σοφία παρασκευάζεται εἰς τὴν τοῦ ὅλου βίου μακαριότητα, πολὺ μέγιστόν ἐστιν ἡ τῆς φιλίας κτῆσις.* Compare Cicero *de finibus* I 65–70.

Society and the state

98 Arrian *Epicteti dissertationes* II 20. 6 *τί γὰρ λέγει (Ἐπίκουρος); μὴ ἐξαπατᾶσθε, ἄνθρωποι, μηδὲ παράγεσθε μηδὲ διαπίπτετε· οὐκ ἔστι φυσικὴ κοινωνία τοῖς λογικοῖς πρὸς ἀλλήλους, πιστεύσατέ μοι. οἱ δὲ τὰ ἕτερα λέγοντες ἐξαπατῶσιν ὑμᾶς καὶ παραλογίζονται.*

99 Stobaeus *florilegium* 43. 139 *οἱ νόμοι χάριν τῶν σοφῶν κεῖνται, οὐχ ὅπως μὴ ἀδικῶσιν ἀλλ' ὅπως μὴ ἀδικῶνται.*

100 Epicurus apud Diogenem Laertium x 150 *ὅσα τῶν ζῴων μὴ ἐδύνατο συνθήκας ποιεῖσθαι τὰς ὑπὲρ τοῦ μὴ βλάπτειν ἄλλα μηδὲ βλάπτεσθαι, πρὸς ταῦτα οὐθὲν ἦν δίκαιον οὐδὲ ἄδικον. ὡσαύτως δὲ καὶ τῶν ἐθνῶν ὅσα μὴ ἐδύνατο ἢ μὴ ἐβούλετο τὰς συνθήκας ποιεῖσθαι τὰς ὑπὲρ τοῦ μὴ βλάπτειν μηδὲ βλάπτεσθαι. οὐκ ἦν τι καθ' ἑαυτὸ δικαιοσύνη, ἀλλ' ἐν ταῖς μετ' ἀλλήλων συστροφαῖς καθ' ὁπηλίκους δή ποτε ἀεὶ τόπους συνθήκη τις ὑπὲρ τοῦ μὴ βλάπτειν ἢ βλάπτεσθαι.*

λαθὲ βιώσας

101 Lucretius v 1129 f.

ut satius multo iam sit parere quietum
quam regere imperio res velle et regna tenere.

Compare Epicurus apud Diogenem Laertium x 141 *ἔνδοξοι καὶ περίβλεπτοι τινὲς ἐβουλήθησαν γενέσθαι, τὴν ἐξ ἀνθρώπων ἀσφάλειαν οὕτω νομίζοντες περιποιήσεσθαι.*

ὥστε εἰ μὲν ἀσφαλὴς ὁ τῶν τοιούτων βίος, ἀπέλαβον τὸ τῆς φύσεως ἀγαθόν· εἰ δὲ μὴ ἀσφαλής, οὐκ ἔχουσιν οὗ ἕνεκα ἐξ ἀρχῆς κατὰ τὸ τῆς φύσεως οἰκεῖον ὠρέχθησαν.

The Wise Man

102 Cicero *de finibus* I 62 f. sic enim ab Epicuro sapiens semper beatus inducitur: finitas habet cupiditates, neglegit mortem, de dis inmortalibus sine ullo metu vera sentit, non dubitat, si ita melius sit, migrare de vita. his rebus instructus semper est in voluptate. neque enim tempus est ullum, quo non plus voluptatum habeat quam dolorum. nam et praeterita grate meminit et praesentibus ita potitur, ut animadvertat, quanta sint ea quamque iucunda, neque pendet ex futuris, sed exspectat illa, fruitur praesentibus ab eisque vitiis, quae paulo ante conlegi, abest plurimum et, cum stultorum vitam cum sua conparat, magna afficitur voluptate. dolores autem, si qui incurrunt, numquam vim tantam habent, ut non plus habeat sapiens quod gaudeat quam quod angatur. optime vero Epicurus, quod exiguam dixit fortunam intervenire sapienti maximasque ab eo et gravissimas res consilio ipsius et ratione administrari, neque maiorem voluptatem ex infinito tempore aetatis percipi posse quam ex hoc percipiatur, quod videamus esse finitum. Compare Diogenes Laertius x 117–121, and Usener *Epicurea* pp. 330–341.

V THE STOICS

FOUNDATION OF THE SCHOOL: *circa* 300 B.C.

PRESIDENTS

ZENO *circa* 300–264 B.C.
CLEANTHES 264–232
CHRYSIPPUS 232–*circa* 206
ZENO OF TARSUS, DIOGENES OF SELEUCIA, ANTIPATER OF TARSUS 206–*circa* 140

Zeno

103 Diogenes Laertius VII 1 *Ζήνων Μνασέου ἢ Δημέου Κιτιεὺς ἀπὸ Κύπρου, πολίσματος Ἑλληνικοῦ, Φοίνικας ἐποίκους ἐσχηκότος.* 5. *ἀνακάμπτων δὴ ἐν τῇ ποικίλῃ στοᾷ τῇ καὶ Πεισιανακτείῳ καλουμένῃ, ἀπὸ δὲ τῆς γραφῆς τῆς Πολυγνώτου ποικίλῃ, διετίθετο τοὺς λόγους. . . . προσῄεσαν δὴ πολλοὶ ἀκούοντες αὐτοῦ καὶ διὰ τοῦτο Στωικοὶ ἐκλήθησαν καὶ οἱ ἀπ' αὐτοῦ ὁμοίως, πρότερον Ζηνώνειοι καλούμενοι, καθά φησι καὶ Ἐπίκουρος ἐν ἐπιστολαῖς.* Numenius apud Eusebii *praeparationem evangelicam* XIV 5. 11 *Πολέμωνος δὲ ἐγένοντο γνώριμοι Ἀρκεσίλαος καὶ Ζήνων . . . Ζήνωνα μὲν οὖν μέμνημαι εἰπὼν Ξενοκράτει, εἶτα δὲ Πολέμωνι φοιτῆσαι, αὖθις δὲ παρὰ Κράτητι κυνίσαι· νυνὶ δὲ αὐτῷ λελογίσθω ὅτι καὶ Στίλπωνός τε μετέσχε καὶ τῶν λόγων τῶν Ἡρακλειτείων.*

Cleanthes

104 Diogenes Laertius VII 37 (*μαθητὴς Ζήνωνος*) *Κλεάνθης Φανίου Ἄσσιος, ὁ διαδεξάμενος τὴν σχολήν· ὃν καὶ ἀφωμοίου ταῖς σκληροκήροις δέλτοις, αἳ μόλις μὲν γράφονται, διατηροῦσι δὲ τὰ γραφέντα.*

Chrysippus

105 Diogenes Laertius VII 179 f. *Χρύσιππος Ἀπολλωνίου Σολεὺς ἢ Ταρσεὺς . . . μαθητὴς Κλεάνθους . . .*

ἀνὴρ εὐφυὴς καὶ ὀξύτατος ἐν παντὶ μέρει οὕτως ὥστε καὶ ἐν τοῖς πλείστοις διηνέχθη πρὸς Ζήνωνα, ἀλλὰ καὶ πρὸς Κλεάνθην, ᾧ καὶ πολλάκις ἔλεγε μόνης τῆς τῶν δογμάτων διδασκαλίας χρῄζειν, τὰς δὲ ἀποδείξεις αὐτὸς εὑρήσειν. μετενόει μέντοι, ὁπότε πρὸς αὐτὸν ἀποτείνοιτο· ὥστε συνεχὲς προφέρεσθαι ταῦτα·

ἐγὼ δὲ τἄλλα μακάριος πέφυκ' ἀνήρ,
πλὴν εἰς Κλεάνθην· τοῦτο δ' οὐκ εὐδαιμονῶ.

οὕτω δ' ἐπίδοξος ἐν τοῖς διαλεκτικοῖς ἐγένετο, ὥστε δοκεῖν τοὺς πλείους ὅτι εἰ παρὰ θεοῖς ἦν ἡ διαλεκτική, οὐκ ἂν ἄλλη ἦν ἢ ἡ Χρυσίππειος. πλεονάσας δὲ τοῖς πράγμασι τὴν λέξιν οὐ κατώρθωσε. πονικώτατός τε παρ' ὁντινοῦν γέγονεν, ὡς δῆλος ἐκ τῶν συγγραμμάτων αὐτοῦ· τὸν ἀριθμὸν γὰρ ὑπὲρ πέντε καὶ ἑπτακόσιά ἐστιν.

183 *φασὶν ἐπ' αὐτοῦ λεχθῆναι,*

οἷος πέπνυται, τοὶ δὲ σκιαὶ αΐσσουσι,

καὶ

εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν Στοά.

Philosophy and its parts

Definition and subdivisions of philosophy

106 Aetius I prooemium 2 p. 273 Diels *οἱ μὲν οὖν Στωικοὶ ἔφασαν τὴν μὲν* σοφίαν *εἶναι* θείων τε καὶ ἀνθρωπίνων ἐπιστήμην, *τὴν δὲ* φιλοσοφίαν ἄσκησιν ἐπιτηδείου τέχνης· *ἐπιτήδειον δὲ εἶναι μίαν καὶ ἀνωτάτω τὴν ἀρετήν, ἀρετὰς δὲ τὰς γενικωτάτας τρεῖς, φυσικὴν ἠθικὴν λογικήν· δι' ἣν αἰτίαν καὶ τριμερής ἐστιν ἡ φιλοσοφία, ἧς τὸ μὲν φυσικὸν τὸ δὲ ἠθικὸν τὸ δὲ λογικόν· καὶ φυσικὸν μὲν ὅταν περὶ κόσμου ζητῶμεν καὶ τῶν ἐν κόσμῳ, ἠθικὸν δὲ τὸ κατησχολημένον περὶ τὸν ἀνθρώπινον βίον, λογικὸν δὲ τὸ περὶ τὸν λόγον, ὃ καὶ διαλεκτικὸν καλοῦσιν.* Compare Diogenes Laertius VII 39 and Cicero *de finibus* III 72.

107 Diogenes Laertius VII 40 *εἰκάζουσι δὲ ζῴῳ τὴν φιλοσοφίαν, ὀστοῖς μὲν καὶ νεύροις τὸ λογικὸν προσομοιοῦντες· τοῖς δὲ σαρκωδεστέροις τὸ ἠθικόν· τῇ δὲ ψυχῇ τὸ*

φυσικόν. ἢ πάλιν ᾠῷ· τὰ μὲν γὰρ ἐκτὸς εἶναι τὸ λογικόν· τὰ δὲ μετὰ ταῦτα τὸ ἠθικόν· τὰ δ' ἐσωτάτω τὸ φυσικόν. ἢ ἀγρῷ παμφόρῳ· τὸν μὲν περιβεβλημένον φραγμὸν τὸ λογικόν· τὸν δὲ καρπὸν τὸ ἠθικόν· τὴν δὲ γῆν ἢ τὰ δένδρα τὸ φυσικόν.

108 Seneca fragment 17 philosophia nihil aliud est quam recta vivendi ratio vel honeste vivendi scientia vel ars rectae vitae agendae. non errabimus, si dixerimus philosophiam esse legem bene honesteque vivendi, et qui dixerit illam regulam vitae, suum illi nomen reddidit.

Logic

Subdivisions of Logic

109 Diogenes Laertius VII 41 τὸ δὲ λογικὸν μέρος φασὶν ἔνιοι εἰς δύο διαιρεῖσθαι ἐπιστήμας, εἰς ῥητορικὴν καὶ διαλεκτικήν· τινὲς δὲ καὶ εἰς τὸ ὁρικὸν εἶδος <καὶ> τὸ περὶ κανόνων καὶ κριτηρίων· ἔνιοι δὲ τὸ ὁρικὸν περιαιροῦσι. τὸ μὲν οὖν περὶ κανόνων καὶ κριτηρίων παραλαμβάνουσι πρὸς τὸ τὴν ἀλήθειαν εὑρεῖν· ἐν αὐτῷ γὰρ τὰς τῶν φαντασιῶν διαφορὰς ἀπευθύνουσι. καὶ τὸ ὁρικὸν δὲ ὁμοίως πρὸς ἐπίγνωσιν τῆς ἀληθείας· διὰ γὰρ τῶν ἐννοιῶν τὰ πράγματα λαμβάνεται.

Dialectic and Rhetoric

110 Sextus Empiricus II 7 Ζήνων ὁ Κιτιεὺς ἐρωτηθεὶς ὅτῳ διαφέρει διαλεκτικὴ ῥητορικῆς, συστρέψας τὴν χεῖρα καὶ πάλιν ἐξαπλώσας ἔφη τούτῳ, κατὰ μὲν τὴν συστροφὴν τὸ στρογγύλον καὶ βραχὺ τῆς διαλεκτικῆς τάττων ἰδίωμα, διὰ δὲ τῆς ἐξαπλώσεως καὶ ἐκτάσεως τῶν δακτύλων τὸ πλατὺ τῆς ῥητορικῆς δυνάμεως αἰνιττόμενος. Compare Cicero *de finibus* II 17.

Stoic Rhetoric

111 Cicero *de finibus* IV 7 scripsit artem rhetoricam Cleanthes, Chrysippus etiam, sed sic ut si quis obmutescere concupierit, nihil aliud legere debeat.

φαντασία

112 Diocles Magnes apud Diogenem Laertium VII 49 ἀρέσκει τοῖς Στωικοῖς τὸν περὶ φαντασίας καὶ αἰσθήσεως προτάττειν λόγον, καθότι τὸ κριτήριον, ᾧ ἡ ἀλήθεια τῶν πραγμάτων γινώσκεται, κατὰ γένος φαντασία ἐστί, καὶ καθότι ὁ περὶ συγκαταθέσεως, καὶ ὁ περὶ καταλήψεως καὶ νοήσεως λόγος προάγων τῶν ἄλλων οὐκ ἄνευ φαντασίας συνίσταται. προηγεῖται γὰρ ἡ φαντασία· εἶθ' ἡ διάνοια ἐκλαλητικὴ ὑπάρχουσα, ὃ πάσχει ὑπὸ τῆς φαντασίας, τοῦτο ἐκφέρει λόγῳ.

113 Aetius IV 12. 1 p. 401 Diels φαντασία μὲν οὖν ἐστι (κατὰ Χρύσιππον) πάθος ἐν τῇ ψυχῇ γιγνόμενον, ἐνδεικνύμενον ἐν αὑτῷ καὶ τὸ πεποιηκός· οἷον ἐπειδὰν δι' ὄψεως θεωρῶμεν τὸ λευκόν, ἔστι πάθος τὸ ἐγγεγενημένον διὰ τῆς ὁράσεως ἐν τῇ ψυχῇ. Compare Cicero *academica* I 40. Sextus Empiricus VII 228 ff. φαντασία οὖν ἐστι κατ' αὐτοὺς τύπωσις ἐν ψυχῇ. περὶ ἧς εὐθὺς καὶ διέστησαν· Κλεάνθης μὲν γὰρ ἤκουσε τὴν τύπωσιν κατὰ εἰσοχήν τε καὶ ἐξοχήν, ὥσπερ καὶ διὰ τῶν δακτυλίων γινομένην τοῦ κηροῦ τύπωσιν, Χρύσιππος δὲ ἄτοπον ἡγεῖτο τὸ τοιοῦτο . . . αὐτὸς οὖν (ὁ Χρύσιππος) τὴν τύπωσιν εἰρῆσθαι ὑπὸ τοῦ Ζήνωνος ὑπενόει ἀντὶ τῆς ἑτεροιώσεως, ὥστ' εἶναι τοιοῦτον τὸν λόγον φαντασία ἐστὶν ἑτεροίωσις ψυχῆς.

114 Diogenes Laertius X 51 τῶν δὲ φαντασιῶν κατ' αὐτοὺς αἱ μέν εἰσιν αἰσθητικαί, αἱ δ' οὔ· αἰσθητικαὶ μὲν αἱ δι' αἰσθητηρίου ἢ αἰσθητηρίων λαμβανόμεναι, οὐκ αἰσθητικαὶ δ' αἱ διὰ τῆς διανοίας καθάπερ αἱ ἐπὶ τῶν ἀσωμάτων καὶ ἐπὶ τῶν ἄλλων τῶν λόγῳ λαμβανομένων.

Assent

115 Cicero *academica* II 37 f. nunc de adsensione atque approbatione, quam Graeci *συγκατάθεσιν* vocant, pauca dicemus. . . . nam cum vim, quae esset in sensibus, explicabamus, simul illud aperiebatur, comprehendi multa et percipi sensibus, quod fieri sine adsensione non potest. deinde cum inter inanimum et animal hoc maxime intersit, quod animal agit aliquid—nihil enim agens ne cogitari quidem potest quale sit—aut ei sensus adimendus est aut ea, quae est in nostra sita potestate, reddenda adsensio. at vero animus quodam modo eripitur eis, quos neque sentire neque adsentiri volunt. ut enim necesse est lancem in libra ponderibus impositis deprimi, sic animum perspicuis cedere. nam quo modo non potest animal ullum non appetere id, quod accommodatum ad naturam appareat—Graeci id *οἰκεῖον* appellant—sic non potest obiectam rem perspicuam non approbare.

The mind a *tabula rasa* at birth

116 Aetius IV 11. 1–4 p. 400 Diels *οἱ Στωικοί φασιν· ὅταν γεννηθῇ ὁ ἄνθρωπος, ἔχει τὸ ἡγεμονικὸν μέρος τῆς ψυχῆς ὥσπερ χάρτην εὔεργον εἰς ἀπογραφήν· εἰς τοῦτο μίαν ἑκάστην τῶν ἐννοιῶν ἐναπογράφεται. πρῶτος δὲ ὁ τῆς ἀναγραφῆς τρόπος ὁ διὰ τῶν αἰσθήσεων. αἰσθόμενοι γάρ τινος οἷον λευκοῦ ἀπελθόντος αὐτοῦ μνήμην ἔχουσιν· ὅταν δὲ ὁμοειδεῖς πολλαὶ μνῆμαι γένωνται, τότε φαμὲν ἔχειν ἐμπειρίαν· ἐμπειρία γάρ ἐστι τὸ τῶν ὁμοειδῶν φαντασιῶν πλῆθος. τῶν δὲ ἐννοιῶν αἱ μὲν φυσικῶς γίνονται κατὰ τοὺς εἰρημένους τρόπους καὶ ἀνεπιτεχνήτως, αἱ δὲ ἤδη δι' ἡμετέρας διδασκαλίας καὶ ἐπιμελείας. αὗται μὲν οὖν ἔννοιαι καλοῦνται μόνον, ἐκεῖναι δὲ καὶ προλήψεις. ὁ δὲ λόγος, καθ' ὃν προσαγορευόμεθα λογικοί, ἐκ τῶν προλήψεων συμπληροῦσθαι λέγεται κατὰ τὴν πρώτην ἑβδομάδα. ἔστι δ' ἐννόημα φάντασμα διανοίας λογικοῦ ζῴου· τὸ γὰρ φάντασμα ἐπειδὰν λογικῇ προσπίπτῃ ψυχῇ, τότε ἐννόημα καλεῖται εἰληφὸς τοὔνομα παρὰ τοῦ νοῦ.*

πρόληψις

117 Diogenes Laertius VII 54 *ἔστι δ' ἡ πρόληψις ἔννοια φυσικὴ τῶν καθόλου.* ibid. 53 *φυσικῶς δὲ νοεῖται δίκαιόν τι καὶ ἀγαθόν.* Compare Cicero *de finibus* III 21, 33, and Seneca *epistulae* 117. 6 multum dare solemus praesumptioni omnium hominum et apud nos veritatis argumentum est aliquid omnibus videri: tanquam deos esse inter alia hoc colligimus, quod omnibus insita de dis opinio est nec ulla gens usquam est adeo extra leges moresque proiecta, ut non aliquos deos credat.

Truth

118 Sextus Empiricus VIII 9 f. *ὁ δὲ Ἐπίκουρος τὰ μὲν αἰσθητὰ πάντα ἔλεγεν ἀληθῆ καὶ ὄντα . . . οἱ δὲ ἀπὸ τῆς Στοᾶς λέγουσι μὲν τῶν τε αἰσθητῶν τινα καὶ τῶν νοητῶν ἀληθῆ, οὐκ ἐξ εὐθείας δὲ τὰ αἰσθητά, ἀλλὰ κατ' ἀναφορὰν τὴν ὡς ἐπὶ τὰ παρακείμενα τούτοις νοητά.*

The *καταληπτικὴ φαντασία* or test of truth

119 Diogenes Laertius VII 46 *τῆς δὲ φαντασίας τὴν μὲν καταληπτικήν· τὴν δὲ ἀκατάληπτον· καταληπτικὴν μέν, ἣν κριτήριον εἶναι τῶν πραγμάτων φασί, τὴν γινομένην ἀπὸ ὑπάρχοντος κατ' αὐτὸ τὸ ὑπάρχον, ἐναπεσφραγισμένην καὶ ἐναπομεμαγμένην· ἀκατάληπτον δὲ τὴν μὴ ἀπὸ ὑπάρχοντος, ἢ ἀπὸ ὑπάρχοντος μέν, μὴ*

κατ' αὐτὸ δὲ τὸ ὑπάρχον, τὴν μὴ τρανῆ μηδὲ ἔκτυπον. Compare Sextus Empiricus *Pyrrhoneorum* II 4 *τῆς καταληπτικῆς φαντασίας οὔσης ἀπὸ ὑπάρχοντος κατ' αὐτὸ τὸ ὑπάρχον ἐναπομεμαγμένης καὶ ἐναπεσφραγισμένης, οἵα οὐκ ἂν γένοιτο ἀπὸ μὴ ὑπάρχοντος,* and Zeno fragments 10, 11 Pearson.

Diogenes Laertius VII 54 *ἄλλοι δέ τινες τῶν ἀρχαιοτέρων Στωικῶν τὸν ὀρθὸν λόγον κριτήριον ἀπολείπουσιν.*

120 Cicero *academica* II 145 (Zeno) cum extensis digitis adversam manum ostenderat, 'visum,' inquiebat, 'huius modi est,' deinde, cum paullum digitos contraxerat, 'adsensus huius modi.' tum cum plane compresserat pugnumque fecerat, comprehensionem illam esse dicebat: qua ex similitudine etiam nomen ei rei, quod ante non fuerat, *κατάληψιν* imposuit. Contrast Sextus Empiricus VII 257 *αὕτη γὰρ (ἡ καταληπτικὴ φαντασία) ἐναργὴς οὖσα καὶ πληκτικὴ μόνον οὐχὶ τῶν τριχῶν, φασὶν (οἱ νεώτεροι τῶν Στωικῶν), λαμβάνεται, κατασπῶσα ἡμᾶς εἰς συγκατάθεσιν.*

Formal logic

121 Sextus Empiricus VIII 11 f. *οἱ ἀπὸ τῆς Στοᾶς τρία φάμενοι συζυγεῖν ἀλλήλοις, τό τε σημαινόμενον καὶ τὸ σημαῖνον καὶ τὸ τυγχάνον, ὧν σημαῖνον μὲν εἶναι τὴν φωνήν, οἷον τὴν Δίων, σημαινόμενον δὲ αὐτὸ τὸ πρᾶγμα τὸ ὑπ' αὐτῆς δηλούμενον καὶ οὗ ἡμεῖς μὲν ἀντιλαμβανόμεθα τῇ ἡμετέρᾳ παρυφισταμένου διανοίᾳ, οἱ δὲ βάρβαροι οὐκ ἐπαΐουσι καίπερ τῆς φωνῆς ἀκούοντες, τυγχάνον δὲ τὸ ἐκτὸς ὑποκείμενον, ὥσπερ αὐτὸς ὁ Δίων. τούτων δὲ δύο μὲν εἶναι σώματα, καθάπερ τὴν φωνὴν καὶ τὸ τυγχάνον, ἓν δὲ ἀσώματον, ὥσπερ τὸ σημαινόμενον πρᾶγμα καὶ λεκτόν, ὅπερ ἀληθές τε γίνεται ἢ ψεῦδος.*

The *λεκτόν*

122 Diogenes Laertius VII 63 *φασὶ δὲ τὸ λεκτὸν εἶναι τὸ κατὰ φαντασίαν λογικὴν ὑφιστάμενον. τῶν δὲ λεκτῶν τὰ μὲν λέγουσιν εἶναι αὐτοτελῆ οἱ Στωικοί, τὰ δ' ἐλλιπῆ. ἐλλιπῆ μὲν οὖν ἐστι τὰ ἀναπάρτιστον ἔχοντα τὴν ἐκφοράν, οἷον Γράφει· ἐπιζητοῦμεν γάρ, Τίς; αὐτοτελῆ δ' ἐστὶ τὰ ἀπηρτισμένην ἔχοντα τὴν ἐκφοράν· οἷον, Γράφει Σωκράτης.*

The Categories

123 ibid. *ἐν μὲν οὖν τοῖς ἐλλιπέσι λεκτοῖς τέτακται τὰ κατηγορήματα.*

124 Seneca *epistulae* 58. 8 genus illud primum quaerimus, ex quo ceterae species suspensae sunt, a quo nascitur omnis divisio, quo universa comprehensa sunt. Diogenes Laertius VII 61 *γενικώτατον δέ ἐστιν ὃ γένος ὂν γένος οὐκ ἔχει, οἷον τὸ ὄν.* Sextus Empiricus *Pyrrhoneorum* II 86 *τὸ τί, ὅπερ φασὶν εἶναι πάντων γενικώτατον.*

125 Simplicius *scholia in Aristotelem* 48[a] 13 ff. Brandis *οἱ Στωικοὶ εἰς ἐλάττονα συστέλλειν ἀξιοῦσι τὸν τῶν πρώτων γενῶν ἀριθμόν, . . . ποιοῦνται γὰρ τὴν τομὴν εἰς τέσσαρα, εἰς ὑποκείμενα καὶ ποιὰ καὶ πῶς ἔχοντα καὶ πρός τι πῶς ἔχοντα.*

Other subjects included under Logic

126 Diogenes Laertius VII 43 f. *τὴν διαλεκτικὴν διαιρεῖσθαι εἴς τε τὸν περὶ τῶν σημαινομένων καὶ τῆς φωνῆς τόπον. καὶ τὸν μὲν τῶν σημαινομένων εἴς τε τὸν περὶ τῶν φαντασιῶν τόπον καὶ τῶν ἐκ τούτων ὑφισταμένων λεκτῶν ἀξιωμάτων καὶ αὐτοτελῶν καὶ κατηγορημάτων, καὶ τῶν ὁμοίων ὀρθῶν καὶ ὑπτίων καὶ γενῶν καὶ εἰδῶν, ὁμοίως δὲ καὶ λόγων καὶ τρόπων καὶ συλλογισμῶν καὶ τῶν παρὰ τὴν φωνὴν καὶ τὰ πράγματα σοφισμάτων· ὧν εἶναι ψευδομένους λόγους καὶ ἀληθεύοντας καὶ ἀποφάσκοντας σωρείτας τε καὶ τοὺς ὁμοίους τούτοις, ἐλλιπεῖς καὶ ἀπόρους καὶ περαίνοντας καὶ ἐγκεκαλυμμένους κερατίνας τε καὶ οὔτιδας καὶ θερίζοντας. εἶναι δὲ τῆς διαλεκτικῆς ἴδιον τόπον καὶ τὸν προειρημένον περὶ αὐτῆς τῆς φωνῆς, ἐν ᾧ δείκνυται ἡ ἐγγράμματος φωνή, καὶ τίνα τὰ τοῦ λόγου μέρη, καὶ περὶ σολοικισμοῦ καὶ βαρβαρισμοῦ καὶ ποιημάτων καὶ ἀμφιβολιῶν καὶ περὶ ἐμμελοῦς φωνῆς καὶ περὶ μουσικῆς καὶ περὶ ὅρων κατά τινας καὶ διαιρέσεων καὶ λέξεων.*

Physics

Materialism

127 Cicero *academica* I 39 (Zeno) nullo modo arbitrabatur quidquam effici posse ab ea (natura), quae expers esset corporis . . . nec vero aut quod efficeret aut quod efficeretur, posse esse non corpus. Plutarch *de communibus notitiis* 1073 E *ὄντα γὰρ μόνα τὰ σώματα καλοῦσιν, ἐπειδὴ ὄντος τὸ ποιεῖν τι καὶ πάσχειν.*

128 Sextus Empiricus X 218 *τῶν δὲ ἀσωμάτων τέσσαρα εἴδη καταριθμοῦνται, ὡς λεκτὸν καὶ κενὸν καὶ τόπον καὶ χρόνον.*

The first cause

129 Hippolytus *philosophumena* 21. 1 p. 571 Diels *ὅ τε Χρύσιππος καὶ Ζήνων, οἳ ὑπέθεντο καὶ αὐτοὶ ἀρχὴν μὲν θεὸν τῶν πάντων, σῶμα ὄντα τὸ καθαρώτατον, διὰ πάντων δὲ διήκειν τὴν πρόνοιαν αὐτοῦ.* Aetius I 7. 33 p. 305 Diels *οἱ Στωικοὶ νοερὸν θεὸν ἀποφαίνονται, πῦρ τεχνικὸν ὁδῷ βαδίζον ἐπὶ γένεσιν κόσμου, ἐμπεριειληφὸς πάντας τοὺς σπερματικοὺς λόγους, καθ' οὓς ἕκαστα καθ' εἱμαρμένην γίνεται, καὶ πνεῦμα μὲν διῆκον δι' ὅλου τοῦ κόσμου.* Cicero *academica* II 126 Zenoni et reliquis fere Stoicis aether videtur summus deus, mente praeditus, qua omnia regantur. Compare Stein *Psychologie der Stoa* I p. 26 n.

Two aspects of the first cause

130 Seneca *epistulae* 65. 2 dicunt, ut scis, Stoici nostri duo esse in rerum natura, ex quibus omnia fiant, causam et materiam. materia iacet iners, res ad omnia parata, cessatura, si nemo moveat. causa autem, id est ratio, materiam format et quocumque vult versat, ex illa varia opera producit. esse ergo debet, unde fiat aliquid, deinde a quo fiat. hoc causa est, illud materia. Diogenes Laertius VII 134 *δοκεῖ δ' αὐτοῖς ἀρχὰς εἶναι τῶν ὅλων δύο, τὸ ποιοῦν καὶ τὸ πάσχον. τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσίαν τὴν ὕλην, τὸ δὲ ποιοῦν τὸν ἐν αὐτῇ λόγον τὸν θεόν· τοῦτον γὰρ ἀΐδιον ὄντα διὰ πάσης αὐτῆς δημιουργεῖν ἕκαστα. τίθησι δὲ τὸ δόγμα τοῦτο Ζήνων μὲν ὁ Κιτιεὺς ἐν τῷ περὶ οὐσίας, Κλεάνθης δὲ ἐν τῷ περὶ ἀτόμων, Χρύσιππος δὲ ἐν τῇ πρώτῃ τῶν φυσικῶν.*

Cosmogony

131 Diogenes Laertius VII 135 f. *ἕν τ' εἶναι θεὸν καὶ νοῦν καὶ εἱμαρμένην καὶ Δία πολλαῖς τε ἑτέραις ὀνομασίαις προσονομάζεσθαι. κατ' ἀρχὰς μὲν οὖν καθ' αὑτὸν ὄντα τρέπειν τὴν πᾶσαν οὐσίαν δι' ἀέρος εἰς ὕδωρ· καὶ ὥσπερ ἐν τῇ γονῇ τὸ σπέρμα περιέχεται, οὕτω καὶ τοῦτον σπερματικὸν λόγον ὄντα τοῦ κόσμου τοιόνδε ὑπολείπεσθαι ἐν τῷ ὑγρῷ, εὐεργὸν αὑτῷ ποιοῦντα τὴν ὕλην πρὸς τὴν τῶν ἑξῆς γένεσιν· εἶτα ἀπογεννᾶν πρῶτον τὰ τέσσαρα στοιχεῖα, πῦρ, ὕδωρ, ἀέρα, γῆν.*

Plutarch *de communibus notitiis* 1085 C τά γε μὴν τέσσαρα στοιχεῖα, γῆν καὶ ὕδωρ, ἀέρα τε καὶ πῦρ, πρῶτα στοιχεῖα προσαγορεύοντες, οὐκ οἶδα ὅπως τὰ μὲν ἁπλᾶ καὶ καθαρά, τὰ δὲ σύνθετα καὶ μεμιγμένα ποιοῦσι. γῆν μὲν γὰρ καὶ ὕδωρ οὔτε εἰς ἀεὶ αὑτὰ συνέχειν οὔτε ἕτερα, πνευματικῆς δὲ μετοχῇ καὶ πυρώδους δυνάμεως τὴν ἑνότητα διαφυλάττειν· ἀέρα δὲ καὶ πῦρ αὑτῶν τε εἶναι δι' εὐτονίαν ἐκτατικά, καὶ τοῖς δυσὶν ἐκείνοις ἐγκεκραμένα τόνον παρέχειν καὶ τὸ μόνιμον καὶ οὐσιῶδες.

132 Stobaeus *eclogae* I 370 p. 152 Wachsmuth Ζήνωνα δὲ οὕτως ἀποφαίνεσθαι διαρρήδην· τοιαύτην δὲ δεήσει εἶναι ἐν περιόδῳ τὴν τοῦ ὅλου διακόσμησιν ἐκ τῆς οὐσίας· ὅταν ἐκ πυρὸς τροπὴ εἰς ὕδωρ δι' ἀέρος γένηται, τὸ μέν τι ὑφίστασθαι καὶ γῆν συνίστασθαι, [καὶ] ἐκ τοῦ λοιποῦ δὲ τὸ μὲν διαμένειν ὕδωρ, ἐκ δὲ τοῦ ἀτμιζομένου ἀέρα γίνεσθαι, ἔκ τινος δὲ τοῦ ἀέρος πῦρ ἐξάπτειν· τὴν δὲ μῖξιν <καὶ> κρᾶσιν γίνεσθαι τῇ εἰς ἄλληλα τῶν στοιχείων μεταβολῇ σώματος ὅλου δι' ὅλου τινὸς ἑτέρου διερχομένου. See Pearson *Fragments of Zeno* pp. 100–103.

κρᾶσις δι' ὅλου

133 Diogenes Laertius VII 151 καὶ τὰς κράσεις δὲ διόλου γίνεσθαι, καθά φησιν ὁ Χρύσιππος ἐν τῇ τρίτῃ τῶν φυσικῶν, καὶ μὴ κατὰ περιγραφὴν καὶ παράθεσιν· καὶ γὰρ εἰς πέλαγος ὀλίγος οἶνος βληθεὶς ἐπὶ ποσὸν ἀντιπαρεκταθήσεται, εἶτα συμφθαρήσεται. Simplicius *physica* IV 1 p. 530. 11 ed. Diels σώματα γὰρ πάντα λέγειν δοκοῦντες καὶ τὰς ποιότητας καὶ τὴν ψυχὴν καὶ διὰ παντὸς ὁρῶντες τοῦ σώματος καὶ τὴν ψυχὴν χωροῦσαν καὶ τὰς ποιότητας ἐν ταῖς κράσεσι, συνεχώρουν σῶμα διὰ σώματος χωρεῖν. Plutarch *de Stoicorum repugnantiis* 1054 A πανταχοῦ τὴν ὕλην ἀργὸν ἐξ ἑαυτῆς καὶ ἀκίνητον ὑποκεῖσθαι ταῖς ποιότησιν ἀποφαίνουσι, τὰς δὲ ποιότητας πνεύματα οὔσας καὶ τόνους ἀερώδεις οἷς ἂν ἐγγένωνται μέρεσι τῆς ὕλης εἰδοποιεῖν ἕκαστα καὶ σχηματίζειν. Compare Zeno fragments 53, 96, and Cleanthes fragment 13 Pearson.

The world

134 Aetius I 6. 2 p. 293 Diels καλὸς δὲ ὁ κόσμος· δῆλον δὲ ἐκ τοῦ σχήματος καὶ τοῦ χρώματος καὶ τοῦ μεγέθους καὶ τῆς περὶ τὸν κόσμον τῶν ἀστέρων ποικιλίας.

135 Arius Didymus apud Eusebii *praeparationem evangelicam* XV 15. 1–4 ὅλον δὲ τὸν κόσμον σὺν τοῖς ἑαυτοῦ μέρεσι προσαγορεύουσι θεόν· τοῦτον δὲ ἕνα μόνον εἶναί φασι καὶ πεπερασμένον καὶ ζῷον καὶ ἀΐδιον καὶ θεόν· ἐν γὰρ τούτῳ πάντα περιέχεσθαι τὰ σώματα, κενὸν δὲ μηδὲν ὑπάρχειν ἐν αὐτῷ . . . διὸ κατὰ μὲν τὴν προτέραν ἀπόδοσιν ἀΐδιον τὸν κόσμον εἶναί φασι, κατὰ δὲ τὴν διακόσμησιν γεννητὸν καὶ μεταβλητὸν κατὰ περιόδους ἀπείρους γεγονυίας τε καὶ ἐσομένας. καὶ τὸ μὲν ἐκ τῆς πάσης οὐσίας ποιὸν κόσμον ἀΐδιον εἶναι καὶ θεόν· λέγεσθαι δὲ κόσμον σύστημα ἐξ οὐρανοῦ καὶ ἀέρος καὶ γῆς καὶ θαλάττης καὶ τῶν ἐν αὐτοῖς φύσεων· λέγεσθαι δὲ κόσμον καὶ τὸ οἰκητήριον θεῶν καὶ ἀνθρώπων καὶ τῶν ἕνεκα τούτων γενομένων. ὃν γὰρ τρόπον πόλις λέγεται διχῶς, τό τε οἰκητήριον καὶ τὸ ἐκ τῶν ἐνοικούντων σὺν τοῖς πολίταις σύστημα, οὕτω καὶ ὁ κόσμος οἱονεὶ πόλις ἐστὶν ἐκ θεῶν καὶ ἀνθρώπων συνεστῶσα, τῶν μὲν θεῶν τὴν ἡγεμονίαν ἐχόντων, τῶν δὲ ἀνθρώπων ὑποτεταγμένων. κοινωνίαν δ' ὑπάρχειν πρὸς ἀλλήλους, διὰ τὸ λόγου μετέχειν, ὅς ἐστι φύσει νόμος· τὰ δ' ἄλλα πάντα γεγονέναι τούτων ἕνεκα. οἷς ἀκολούθως νομιστέον προνοεῖν τῶν ἀνθρώπων τὸν τὰ ὅλα διοικοῦντα θεόν, εὐεργετικὸν ὄντα καὶ χρηστὸν καὶ φιλάνθρωπον, δίκαιόν τε καὶ πάσας ἔχοντα τὰς ἀρετάς. διὸ δὴ καὶ Ζεὺς λέγεται ὁ κόσμος, ἐπειδὴ τοῦ ζῆν αἴτιος ἡμῖν ἐστι. Compare Cicero *natura deorum* II 30–39 and Seneca *quaestiones naturales* prologus 13 quid est deus ? quod vides totum et quod non vides totum. sic demum magnitudo sua illi redditur, qua nihil maius excogitari potest, si solus est omnia, opus suum et extra et intra tenet.

The world-soul

136 Stobaeus *eclogae* I 58 p. 34 Wachsmuth Διογένης καὶ Κλεάνθης καὶ Οἰνοπίδης (τὸν θεὸν) τὴν τοῦ κόσμου ψυχήν. Seneca *quaestiones naturales* II 45 eundem, quem nos, Iovem intellegunt, rectorem custodemque universi, animum ac spiritum mundi, operis huius dominum et artificem, cui nomen omne convenit.

Evil

137 Chrysippus apud Plutarchum *de Stoicorum repugnantiis* 1051 B κακίαν δὲ καθόλου ἆραι οὔτε δυνατόν ἐστιν οὔτ' ἔχει καλῶς ἀρθῆναι.

138 Chrysippus ibid. 1050 F *ἡ δὲ κακία πρὸς τὰ δεινὰ συμπτώματα ἴδιόν τινα ἔχει λόγον. γίνεται μὲν γὰρ καὶ αὐτή πως κατὰ τὸν τῆς φύσεως λόγον, καί, ἵν' οὕτως εἴπω, οὐκ ἀχρήστως γίνεται πρὸς τὰ ὅλα· οὐδὲ γὰρ ἂν τἀγαθὸν ἦν.* Chrysippus apud Plutarchum *de communibus notitiis* 1065 D *ὥσπερ γὰρ αἱ κωμῳδίαι ἐπιγράμματα γελοῖα φέρουσιν, ἃ καθ' αὑτὰ μέν ἐστι φαῦλα, τῷ δὲ ὅλῳ ποιήματι χάριν τινὰ προστίθησιν, οὕτω ψέξειας ἂν αὐτὴν ἐφ' ἑαυτῆς τὴν κακίαν· τοῖς δ' ὅλοις οὐκ ἄχρηστός ἐστι.*

Fate

139 Diogenes Laertius VII 149 *καθ' εἱμαρμένην δέ φασι τὰ πάντα γίνεσθαι Χρύσιππος ἐν τοῖς περὶ εἱμαρμένης καὶ Ζήνων . . . ἔστι δ' εἱμαρμένη αἰτία τῶν ὄντων εἱρομένη ἢ λόγος καθ' ὃν ὁ κόσμος διεξάγεται.* Aulus Gellius VII 2. 3 f. in libro enim *περὶ προνοίας* quarto *εἱμαρμένην* esse dicit (Chrysippus) *φυσικήν τινα σύνταξιν τῶν ὅλων ἐξ ἀιδίου τῶν ἑτέρων τοῖς ἑτέροις ἐπακολουθούντων καὶ μεταπολλυμένων* [*μετὰ πολὺ μὲν οὖν* vulgo] . . . *ἀπαραβάτου οὔσης τῆς τοιαύτης ἐπιπλοκῆς.*

Necessity and freewill

140 Cicero *de fato* 41 Chrysippus autem cum et necessitatem improbaret, et nihil vellet sine praepositis causis evenire, causarum genera distinguit, ut et necessitatem effugiat, et retineat fatum. causarum enim, inquit, aliae sunt perfectae et principales: aliae adiuvantes et proximae. quam ob rem cum dicimus omnia fato fieri antecedentibus causis, non hoc intellegi volumus, causis perfectis et principalibus, sed causis adiuvantibus et proximis. ibid. 43 ut igitur, inquit, qui protrusit cylindrum, dedit ei principium motionis, volubilitatem autem non dedit: sic visum obiectum imprimet illud quidem et quasi signabit in animo suam speciem, sed assensio nostra erit in potestate: eaque, quemadmodum in cylindro dictum est, extrinsecus pulsa, quod reliquum est, suapte vi et natura movebitur. Chrysippus apud Eusebii *praeparationem evangelicam* IV 3. 1 *μὴ γὰρ ἂν τὰς τῶν μάντεων προρρήσεις ἀληθεῖς εἶναί φησιν* (*ὁ Χρύσιππος*), *εἰ μὴ πάντα ὑπὸ τῆς εἱμαρμένης περιείχοντο.*

141 Cleanthes apud Epicteti *enchiridion* 52 fragment 91 Pearson

ἄγου (*ἡγοῦ* Crouch) *δέ μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ πεπρωμένη,*
ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος,
ὡς ἕψομαί γ' ἄοκνος· ἢν δὲ μὴ θέλω
κακὸς γενόμενος, οὐδὲν ἧττον ἕψομαι.

Providence

142 Cicero *natura deorum* 164 nec vero universo generi hominum solum, sed etiam singulis a dis immortalibus consuli et provideri solet. ibid. 167 magna di curant, parva neglegunt. Marcus Aurelius VI 44 *εἰ μὲν οὖν ἐβουλεύσαντο περὶ ἐμοῦ καὶ τῶν ἐμοὶ συμβῆναι ὀφειλόντων οἱ θεοί, καλῶς ἐβουλεύσαντο· ἄβουλον γὰρ θεὸν οὐδὲ ἐπινοῆσαι ῥᾴδιον· κακοποιῆσαι δέ με διὰ τίνα αἰτίαν ἔμελλον ὁρμᾶν; τί γὰρ αὐτοῖς, ἢ τῷ κοινῷ, οὗ μάλιστα προνοοῦνται, ἐκ τούτου περιεγένετο; εἰ δὲ μὴ ἐβουλεύσαντο κατ' ἰδίαν περὶ ἐμοῦ, περί γε τῶν κοινῶν πάντως ἐβουλεύσαντο, οἷς κατ' ἐπακολούθησιν καὶ ταῦτα συμβαίνοντα ἀσπάζεσθαι καὶ στέργειν ὀφείλω.*

The macrocosm and the microcosm

143 Seneca *epistulae* 65. 24 quem in hoc mundo locum deus obtinet, hunc in homine animus. quod est illic materia, id in nobis corpus est. Cicero *natura deorum* II 37 ipse autem homo ortus est ad mundum contemplandum et imitandum, nullo modo perfectus, sed est quaedam particula perfecti. See Stein *Psychologie der Stoa* I pp. 205–214.

Soul

144 Plutarch *de virtute morali* 451 B *καθόλου δὲ τῶν ὄντων αὐτοί τέ φασι καὶ δῆλόν ἐστιν ὅτι τὰ μὲν ἕξει διοικεῖται, τὰ δὲ φύσει, τὰ δὲ ἀλόγῳ ψυχῇ, τὰ δὲ καὶ λόγον ἐχούσῃ καὶ διάνοιαν· ὧν ὁμοῦ τι πάντων ὁ ἄνθρωπος μετέσχηκε καὶ γέγονεν ἐν πάσαις ταῖς εἰρημέναις διαφοραῖς· καὶ γὰρ ἕξει συνέχεται καὶ φύσει τρέφεται καὶ λόγῳ χρῆται καὶ διανοίᾳ.* Sextus Empiricus IX 81 *τῶν ἡνωμένων σωμάτων τὰ μὲν ὑπὸ ψιλῆς ἕξεως συνέχεται, τὰ δὲ ὑπὸ φύσεως, τὰ δὲ ὑπὸ ψυχῆς, καὶ ἕξεως μὲν ὡς λίθοι καὶ ξύλα, φύσεως δὲ καθάπερ τὰ φυτά, ψυχῆς δὲ τὰ ζῷα.* Compare Zeno fragment 43 Pearson.

The soul of man

145 Chrysippus apud Nemesium *de natura hominis* 34 *Χρύσιππος δέ φησιν ὅτι ὁ θάνατός ἐστι χωρισμὸς ψυχῆς ἀπὸ σώματος· οὐδὲν δὲ ἀσώματον ἀπὸ σώματος χωρίζεται· οὐδὲ γὰρ ἐφάπτεται σώματος ἀσώματον· ἡ δὲ ψυχὴ καὶ*

ἐφάπτεται καὶ χωρίζεται τοῦ σώματος· σῶμα ἄρα ἡ ψυχή. Compare Cleanthes fragment 36 Pearson.

146 Chrysippus apud Galenum v p. 287 Kühn ἡ ψυχὴ πνεῦμά ἐστι σύμφυτον ἡμῖν συνεχὲς παντὶ τῷ σώματι διῆκον ἔστ' ἂν ἡ τῆς ζωῆς συμμετρία παρῇ ἐν τῷ σώματι. Compare Diogenes Laertius VII 157 Ζήνων δ' ὁ Κιτιεὺς καὶ Ἀντίπατρος . . . καὶ Ποσειδώνιος πνεῦμα ἔνθερμον εἶναι τὴν ψυχήν· τούτῳ γὰρ ἡμᾶς εἶναι ἐμπνόους καὶ ὑπὸ τούτου κινεῖσθαι.

147 Aetius IV 4. 4 p. 390 Diels οἱ Στωικοὶ ἐξ ὀκτὼ μερῶν φασι συνεστάναι (τὴν ψυχήν), πέντε μὲν τῶν αἰσθητικῶν, ὁρατικοῦ, ἀκουστικοῦ, ὀσφραντικοῦ, γευστικοῦ, ἁπτικοῦ, ἕκτου δὲ φωνητικοῦ, ἑβδόμου δὲ σπερματικοῦ, ὀγδόου δὲ αὐτοῦ τοῦ ἡγεμονικοῦ, ἀφ' οὗ ταῦτα πάντα ἐπιτέταται διὰ τῶν οἰκείων ὀργάνων προσφερῶς ταῖς τοῦ πολύποδος πλεκτάναις.

148 Diogenes Laertius VII 159 ἡγεμονικὸν δ' εἶναι τὸ κυριώτατον τῆς ψυχῆς, ἐν ᾧ αἱ φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται καὶ ὅθεν ὁ λόγος ἀναπέμπεται· ὅπερ εἶναι ἐν καρδίᾳ. Compare Zeno fragments 93 and 135 Pearson.

Relation of the human to the world-soul

149 Marcus Aurelius II 4 δεῖ δὲ ἤδη ποτὲ αἰσθέσθαι, τίνος κόσμου μέρος εἶ, καὶ τίνος διοικοῦντος τὸν κόσμον ἀπόρροια ὑπέστης. V 27 συζῆν θεοῖς· συζῇ δὲ θεοῖς ὁ συνεχῶς δεικνὺς αὐτοῖς τὴν ἑαυτοῦ ψυχὴν ἀρεσκομένην μὲν τοῖς ἀπονεμομένοις, ποιοῦσαν δὲ ὅσα βούλεται ὁ δαίμων, ὃν ἑκάστῳ προστάτην καὶ ἡγέμονα ὁ Ζεὺς ἔδωκεν, ἀπόσπασμα ἑαυτοῦ. οὗτος δέ ἐστιν ὁ ἑκάστου νοῦς καὶ λόγος. Epictetus *dissertationes* I 14. 5 f. ἀλλὰ τὰ φυτὰ μὲν καὶ τὰ ἡμέτερα σώματα οὕτως ἐνδέδεται τοῖς ὅλοις καὶ συμπέπονθεν· αἱ ψυχαὶ δ' αἱ ἡμέτεραι οὐ πολὺ πλέον; ἀλλ' αἱ ψυχαὶ μὲν οὕτως εἰσὶν ἐνδεδέμεναι καὶ συναφεῖς τῷ θεῷ, ἅτε αὐτοῦ μόρια ὄντα καὶ ἀποσπάσματα.

The soul after death

150 Diogenes Laertius VII 157 Κλεάνθης μὲν οὖν πάσας ἐπιδιαμένειν (τὰς ψυχὰς) μέχρι τῆς ἐκπυρώσεως, Χρύσιππος δὲ τὰς τῶν σοφῶν μόνον.

The ἐκπύρωσις and παλιγγενεσία

151 Stobaeus *eclogae* I 17 p. 153 Wachsmuth Κλεάνθης δὲ οὕτω πώς φησιν· ἐκφλογισθέντος τοῦ παντὸς συνίζειν τὸ μέσον αὐτοῦ πρῶτον, εἶτα τὰ ἐχόμενα ἀποσβέννυσθαι

δι' ὅλου. τοῦ δὲ παντὸς ἐξυγρανθέντος τὸ ἔσχατον τοῦ πυρός, ἀντιτυπήσαντος αὐτῷ τοῦ μέσου, τρέπεσθαι πάλιν εἰς τοὐναντίον, εἶθ' οὕτω τρεπόμενον ἄνω φησὶν αὔξεσθαι καὶ ἄρχεσθαι διακοσμεῖν τὸ ὅλον· καὶ τοιαύτην περίοδον αἰεὶ καὶ διακόσμησιν ποιουμένου τὸν ἐν τῇ τῶν ὅλων οὐσίᾳ τόνον μὴ παύεσθαι. ὥσπερ γὰρ ἑνός τινος τὰ μέρη πάντα φύεται ἐκ σπερμάτων ἐν τοῖς καθήκουσι χρόνοις, οὕτω καὶ τοῦ ὅλου τὰ μέρη, ὧν καὶ τὰ ζῷα καὶ τὰ φυτὰ ὄντα τυγχάνει, ἐν τοῖς καθήκουσι χρόνοις φύεται. καὶ ὥσπερ τινὲς λόγοι τῶν μερῶν εἰς σπέρμα συνιόντες μίγνυνται καὶ αὖθις διακρίνονται γενομένων τῶν μερῶν, οὕτως ἐξ ἑνός τε πάντα γίνεσθαι καὶ ἐκ πάντων [εἰς] ἓν συγκρίνεσθαι, ὁδῷ καὶ συμφώνως διεξιούσης τῆς περιόδου. See Pearson *Fragments of Zeno and Cleanthes* pp. 252 ff.

The restoration of all things

152 Nemesius *de natura hominis* 147 f. οἱ δὲ Στωικοί φασιν ἀποκαθισταμένους τοὺς πλάνητας εἰς τὸ αὐτὸ σημεῖον κατά τε μῆκος καὶ πλάτος, ἔνθα τὴν ἀρχὴν ἕκαστος ἦν, ὅτε τὸ πρῶτον ὁ κόσμος συνέστη, ἐν ῥηταῖς χρόνων περιόδοις ἐκπύρωσιν καὶ φθορὰν τῶν ὄντων ἀπεργάζεσθαι καὶ πάλιν ἐξ ὑπαρχῆς εἰς τὸ αὐτὸ τὸν κόσμον ἀποκαθίστασθαι . . . ἔσεσθαι γὰρ πάλιν Σωκράτην καὶ Πλάτωνα καὶ ἕκαστον τῶν ἀνθρώπων σὺν τοῖς αὐτοῖς καὶ φίλοις καὶ πολίταις καὶ τὰ αὐτὰ πείσεσθαι καὶ τοῖς αὐτοῖς συντεύξεσθαι καὶ τὰ αὐτὰ μεταχειριεῖσθαι, καὶ πᾶσαν πόλιν καὶ κώμην καὶ ἀγρὸν ὁμοίως ἀποκαθίστασθαι. γίγνεσθαι δὲ τὴν ἀποκατάστασιν τοῦ παντὸς οὐχ ἅπαξ ἀλλὰ πολλάκις, μᾶλλον δὲ εἰς ἄπειρον καὶ ἀτελευτήτως τὰ αὐτὰ ἀποκαθίστασθαι.

Ethics

Moral idealism tempered by concessions to common sense

153 Cicero *pro Murena* 65 isti ipsi mihi videntur vestri (Stoicorum) praeceptores et virtutis magistri fines officiorum paulo longius quam natura vellet protulisse; ut, cum ad ultimum animo contendissemus, ibi tamen, ubi oporteret, consisteremus.

Eudaemonism

154 Stobaeus *eclogae* II 138 p. 77 Wachsmuth τέλος δέ φασιν εἶναι τὸ εὐδαιμονεῖν, οὗ ἕνεκα πάντα πράττεται,

αὐτὸ δὲ πράττεται μέν, οὐδενὸς δὲ ἕνεκα . . . τὴν δὲ εὐδαιμονίαν ὁ Ζήνων ὡρίσατο τὸν τρόπον τοῦτον· εὐδαιμονία δ' ἐστὶν εὔροια βίου.

Harmony with Nature

155 ibid. 134 p. 75 Wachsmuth *τὸ δὲ τέλος ὁ μὲν Ζήνων οὕτως ἀπέδωκε τὸ ὁμολογουμένως ζῆν· τοῦτο δ' ἐστὶ καθ' ἕνα λόγον καὶ σύμφωνον ζῆν, ὡς τῶν μαχομένως ζώντων κακοδαιμονούντων. οἱ δὲ μετὰ τοῦτον προσδιαρθροῦντες οὕτως ἐξέφερον, ὁμολογουμένως τῇ φύσει ζῆν, ὑπολαβόντες ἔλαττον εἶναι κατηγόρημα τὸ ὑπὸ τοῦ Ζήνωνος ῥηθέν. Κλεάνθης γὰρ πρῶτος διαδεξάμενος αὐτοῦ τὴν αἵρεσιν προσέθηκε τῇ φύσει καὶ οὕτως ἀπέδωκε, τέλος ἐστὶ τὸ ὁμολογουμένως τῇ φύσει ζῆν.* Contrast Diogenes Laertius VII 87 *πρῶτος ὁ Ζήνων ἐν τῷ περὶ ἀνθρώπου φύσεως τέλος εἶπε τὸ ὁμολογουμένως τῇ φύσει ζῆν*, and Cicero *de finibus* IV 14 hunc ipsum Zenonis aiunt esse finem, declarantem illud, quod a te dictum est, convenienter naturae vivere.

Interpretation of 'Nature'

156 Diogenes Laertius VII 89 *φύσιν δὲ Χρύσιππος μὲν ἐξακούει, ᾗ ἀκολούθως δεῖ ζῆν, τήν τε κοινὴν καὶ ἰδίως τὴν ἀνθρωπίνην· ὁ δὲ Κλεάνθης τὴν κοινὴν μόνην ἐκδέχεται φύσιν, ᾗ ἀκολουθεῖν δεῖ, οὐκέτι δὲ καὶ τὴν ἐπὶ μέρους.* Stobaeus *eclogae* II 134 p. 76 Wachsmuth *ὅπερ (τὸ ὁμολογουμένως τῇ φύσει ζῆν) ὁ Χρύσιππος σαφέστερον βουλόμενος ποιῆσαι ἐξήνεγκε τὸν τρόπον τοῦτον, ζῆν κατ' ἐμπειρίαν τῶν φύσει συμβαινόντων.*

The *πρῶτα κατὰ φύσιν*

157 Cicero *de finibus* III 16 f. placet his, inquit, quorum ratio mihi probatur, simul atque natum sit animal—hinc enim est ordiendum—, ipsum sibi conciliari et commendari ad se conservandum et ad suum statum eaque, quae conservantia sunt eius status, diligenda, alienari autem ab interitu eisque rebus, quae interitum videantur adferre. id ita esse sic probant, quod ante, quam voluptas aut dolor attigerit, salutaria appetant parvi aspernenturque contraria, quod non fieret, nisi statum suum diligerent, interitum timerent. fieri autem non posset, ut appeterent aliquid, nisi sensum haberent sui eoque se diligerent: ex quo intellegi debet principium ductum esse a se diligendo. in principiis autem naturalibus plerique Stoici non putant voluptatem

esse ponendam: quibus ego vehementer assentior, ne, si voluptatem natura posuisse in eis rebus videatur, quae primae appetuntur, multa turpia sequantur. satis esse autem argumenti videtur, quam ob rem illa, quae prima sunt ascita natura, diligamus, quod est nemo quin, cum utrumvis liceat, aptas malit et integras omnes partes corporis quam, eodem usu, imminutas aut detortas habere. See Madvig's edition of the *de finibus* pp. 815–825.

Virtue the ultimate goal

158 ibid. 20 f. initiis igitur ita constitutis, ut ea, quae secundum naturam sunt, ipsa propter se sumenda sint, contrariaque item reicienda, primum est officium—id enim appello *καθῆκον*—, ut se conservet in naturae statu, deinceps ut ea teneat, quae secundum naturam sint, pellatque contraria; qua inventa selectione et item reiectione sequitur deinceps cum officio selectio, deinde ea perpetua, tum ad extremum constans consentaneaque naturae, in qua primum inesse incipit et intellegi, quid sit quod vere bonum possit dici. prima est enim conciliatio hominis ad ea, quae sunt secundum naturam; simul autem cepit intellegentiam vel notionem potius, quam appellant *ἔννοιαν* illi, viditque rerum agendarum ordinem et, ut ita dicam, concordiam, multo eam pluris aestimavit quam omnia illa, quae prima dilexerat, atque ita cognitione et ratione collegit, ut statueret in eo collocatum summum illud hominis per se laudandum et expetendum bonum; quod cum positum sit in eo, quod *ὁμολογίαν* Stoici, nos appellemus convenientiam, si placet,—cum igitur in eo sit id bonum, quo omnia referenda sunt, honeste facta ipsumque honestum, quod solum in bonis ducitur, quamquam post oritur, tamen id solum vi sua et dignitate expetendum est, eorum autem, quae sunt prima naturae, propter se nihil est expetendum.

Virtue

159 Diogenes Laertius VII 89 *τήν τ' ἀρετὴν διάθεσιν εἶναι ὁμολογουμένην καὶ αὐτὴν δι' αὐτὴν εἶναι αἱρετήν, οὐ διά τινα φόβον ἢ ἐλπίδα ἤ τι τῶν ἔξωθεν· ἐν αὐτῇ τ' εἶναι τὴν εὐδαιμονίαν, ἅτ' οὔσῃ ψυχῇ πεποιημένῃ πρὸς τὴν ὁμολογίαν παντὸς τοῦ βίου.* ibid. 127 *αὐταρκῆ τ' εἶναι αὐτὴν (τὴν ἀρετὴν) πρὸς εὐδαιμονίαν, καθά φησι Ζήνων καὶ Χρύσιππος.*

Primary and secondary virtues and vices

160 Stobaeus *eclogae* II 104 f. p. 60 Wachsmuth *τῶν δ' ἀρετῶν τὰς μὲν εἶναι πρώτας, τὰς δὲ ταῖς πρώταις ὑποτεταγμένας. πρώτας δὲ τέτταρας εἶναι, φρόνησιν, σωφροσύνην, ἀνδρείαν, δικαιοσύνην . . . τῶν δὲ ὑποτεταγμένων ταῖς ἀρεταῖς ταύταις τὰς μὲν τῇ φρονήσει ὑποτετάχθαι, τὰς δὲ τῇ σωφροσύνῃ, τὰς δὲ τῇ ἀνδρείᾳ, τὰς δὲ τῇ δικαιοσύνῃ. τῇ μὲν οὖν φρονήσει ὑποτάττεσθαι εὐβουλίαν, εὐλογιστίαν, ἀγχίνοιαν, νουνέχειαν, <εὐστοχίαν>, εὐμηχανίαν· τῇ δὲ σωφροσύνῃ εὐταξίαν, κοσμιότητα, αἰδημοσύνην, ἐγκράτειαν· τῇ δὲ ἀνδρείᾳ καρτερίαν, θαρραλεότητα, μεγαλοψυχίαν, εὐψυχίαν, φιλοπονίαν· τῇ δὲ δικαιοσύνῃ εὐσέβειαν, χρηστότητα, εὐκοινωνησίαν, εὐσυναλλαξίαν.*

161 Diogenes Laertius VII 93 *ἀνὰ λόγον δὲ καὶ τῶν κακιῶν τὰς μὲν εἶναι πρώτας, τὰς δ' ὑπὸ ταύτας· οἷον ἀφροσύνην μὲν καὶ δειλίαν καὶ ἀδικίαν καὶ ἀκολασίαν ἐν ταῖς πρώταις, ἀκρασίαν δὲ καὶ βραδύνοιαν καὶ κακοβουλίαν ἐν ταῖς ὑπὸ ταύτας.*

The primary virtues

162 Stobaeus *eclogae* II 102 f. p. 59 Wachsmuth *φρόνησιν δ' εἶναι ἐπιστήμην ὧν ποιητέον καὶ οὐ ποιητέον καὶ οὐδετέρων, ἢ ἐπιστήμην ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων φύσει πολιτικοῦ <λογικοῦ> ζῴου . . . σωφροσύνην δ' εἶναι ἐπιστήμην αἱρετῶν καὶ φευκτῶν καὶ οὐδετέρων· δικαιοσύνην δὲ ἐπιστήμην ἀπονεμητικὴν τῆς ἀξίας ἑκάστῳ· ἀνδρείαν δὲ ἐπιστήμην δεινῶν καὶ οὐ δεινῶν καὶ οὐδετέρων· . . . καὶ τὴν μὲν φρόνησιν περὶ τὰ καθήκοντα γίνεσθαι· τὴν δὲ σωφροσύνην περὶ τὰς ὁρμὰς τοῦ ἀνθρώπου· τὴν δὲ ἀνδρείαν περὶ τὰς ὑπομονάς· τὴν δὲ δικαιοσύνην περὶ τὰς ἀπονεμήσεις.*

163 Cleanthes apud Plutarchum *de Stoicorum repugnantiis* 1034 D *πληγὴ πυρὸς ὁ τόνος ἐστί, κἂν ἱκανὸς ἐν τῇ ψυχῇ γένηται πρὸς τὸ ἐπιτελεῖν τὰ ἐπιβάλλοντα, ἰσχὺς καλεῖται καὶ κράτος . . . ἡ δ' ἰσχὺς αὕτη καὶ τὸ κράτος ὅταν μὲν ἐπὶ τοῖς φανεῖσιν ἐμμενετέοις ἐγγένηται, ἐγκράτειά ἐστιν· ὅταν δ' ἐν τοῖς ὑπομενετέοις, ἀνδρεία· περὶ τὰς ἀξίας δέ, δικαιοσύνη· περὶ δὲ τὰς αἱρέσεις καὶ ἐκκλίσεις σωφροσύνη.*

Unity of Virtue

164 Plutarch ibid. 1034 C f. *ὁριζόμενος (ὁ Ζήνων) αὐτῶν*

ἑκάστην τὴν μὲν ἀνδρείαν φησὶ φρόνησιν εἶναι ἐν ἐνεργητέοις, τὴν δὲ δικαιοσύνην φρόνησιν ἐν ἀπονεμητέοις, ὡς μίαν οὖσαν ἀρετήν, ταῖς δὲ πρὸς τὰ πράγματα σχέσεσι κατὰ τὰς ἐνεργείας διαφέρειν δοκοῦσαν. ibid. 1046 E f. *τὰς ἀρετάς φησιν (ὁ Χρύσιππος) ἀντακολουθεῖν ἀλλήλαις, οὐ μόνον τῷ τὸν μίαν ἔχοντα πάσας ἔχειν, ἀλλὰ καὶ τῷ τὸν κατὰ μίαν ὁτιοῦν ἐνεργοῦντα κατὰ πάσας ἐνεργεῖν· οὔτε γὰρ ἄνδρα φησὶ τέλειον εἶναι τὸν μὴ πάσας ἔχοντα τὰς ἀρετὰς οὔτε πρᾶξιν τελείαν ἥτις οὐ κατὰ πάσας πράττεται τὰς ἀρετάς.*

Permanence of Virtue

165 Diogenes Laertius VII 127 *τὴν ἀρετὴν Χρύσιππος μὲν ἀποβλητήν, Κλεάνθης δὲ ἀναπόβλητον· ὁ μὲν ἀποβλητὴν διὰ μέθην καὶ μελαγχολίαν, ὁ δ' ἀναπόβλητον διὰ βεβαίους καταλήψεις.*

Equality of Virtues and of Vices

166 Chrysippus apud Plutarchum *de Stoicorum repugnantiis* 1038 C *μήτε κακίαν κακίας ἢ ἁμαρτίαν ἁμαρτίας ὑπερέχουσαν εἶναι μήτε ἀρετὴν ἀρετῆς ἢ κατόρθωσιν κατορθώσεως.* Compare Cicero *paradoxa* 3 *ἴσα τὰ ἁμαρτήματα καὶ τὰ κατορθώματα.*

No middle point between Virtue and Vice

167 Diogenes Laertius VII 127 *ἀρέσκει δ' αὐτοῖς μηδὲν μεταξὺ εἶναι ἀρετῆς καὶ κακίας, τῶν Περιπατητικῶν μεταξὺ ἀρετῆς καὶ κακίας εἶναι λεγόντων τὴν προκοπήν. ὡς γὰρ δεῖν φασιν ἢ ὀρθὸν εἶναι ξύλον ἢ στρεβλόν, οὕτως ἢ δίκαιον ἢ ἄδικον, οὔτε δὲ δικαιότερον, οὔτε ἀδικώτερον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.* Plutarch *de communibus notitiis* 1063 A *ὥσπερ ὁ πῆχυν ἀπέχων ἐν θαλάττῃ τῆς ἐπιφανείας οὐδὲν ἧττον πνίγεται τοῦ καταδεδυκότος ὀργυίας πεντακοσίας, οὕτως οὐδὲ οἱ πελάζοντες ἀρετῇ τῶν μακρὰν ὄντων ἧττόν εἰσιν ἐν κακίᾳ· καὶ καθάπερ οἱ τυφλοὶ τυφλοί εἰσι, κἂν ὀλίγον ὕστερον ἀναβλέπειν μέλλωσιν, οὕτως οἱ προκόπτοντες, ἄχρι οὗ τὴν ἀρετὴν ἀναλάβωσιν, ἀνόητοι καὶ μοχθηροὶ διαμένουσιν.* Compare Cicero *de finibus* III 48.

προκοπή

168 Plutarch *de profectu in virtute* 82 F *ἠξίου γὰρ (ὁ Ζήνων) ἀπὸ τῶν ὀνείρων ἕκαστον αὑτοῦ συναισθάνεσθαι προκόπτοντος, εἰ μήτε ἡδόμενον αἰσχρῷ τινι ἑαυτόν, μήτε τι προσιέμενον ἢ πράττοντα τῶν δεινῶν καὶ ἀδίκων ὁρᾷ κατὰ τοὺς ὕπνους, ἀλλ' οἷον ἐν βύθῳ γαλήνης ἀκλύστου*

καταφανεῖ διαλάμπει τῆς ψυχῆς τὸ φανταστικὸν καὶ παθητικὸν διακεχυμένον ὑπὸ τοῦ λόγου.

169 Seneca *epistulae* 75. 8 inter ipsos quoque proficientes sunt magna discrimina: in tres classes, ut quibusdam placet, dividuntur: primi sunt, qui sapientiam nondum habent, sed iam in vicinia eius constiterunt. ibid. 13 secundum genus est eorum, qui et maxima animi mala et adfectus deposuerunt, sed ita, ut non sit illis securitatis suae certa possessio. possunt enim in eadem relabi. tertium illud genus extra mala multa et magna est, sed non extra omnia: effugit avaritiam, sed iram adhuc sentit. iam non sollicitatur libidine, etiam nunc ambitione. iam non concupiscit, sed adhuc timet. et in ipso metu ad quaedam satis firmus est, quibusdam cedit. mortem contemnit, dolorem reformidat.

170 Stobaeus *florilegium* 103. 22 ὁ δ' ἐπ' ἄκρον, φησὶν (ὁ Χρύσιππος), προκόπτων ἅπαντα πάντως ἀποδίδωσι τὰ καθήκοντα καὶ οὐδὲν παραλείπει. τὸν δὲ τούτου βίον οὐκ εἶναί πω φησιν εὐδαίμονα, ἀλλ' ἐπιγίγνεσθαι αὐτῷ τὴν εὐδαιμονίαν, ὅταν αἱ μέσαι πράξεις αὗται προσλάβωσι τὸ βέβαιον καὶ ἑκτικόν, καὶ ἰδίαν πῆξίν τινα λάβωσιν.

Goods, Evils, and Indifferents.

171 Zeno apud Stobaeum *eclogae* II 90 p. 57 Wachsmuth ταῦτ' εἶναί φησιν ὁ Ζήνων ὅσα οὐσίας μετέχει, τῶν δ' ὄντων τὰ μὲν ἀγαθά, τὰ δὲ κακά, τὰ δὲ ἀδιάφορα. ἀγαθὰ μὲν τὰ τοιαῦτα· φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρείαν καὶ πᾶν ὅ ἐστιν ἀρετὴ ἢ μετέχον ἀρετῆς· κακὰ δὲ τὰ τοιαῦτα· ἀφροσύνην, ἀκολασίαν, ἀδικίαν, δειλίαν, καὶ πᾶν ὅ ἐστι κακία ἢ μετέχον κακίας· ἀδιάφορα δὲ τὰ τοιαῦτα· ζωὴν θάνατον, δόξαν ἀδοξίαν, πόνον ἡδονήν, πλοῦτον πενίαν, ὑγίειαν νόσον καὶ τὰ τούτοις ὅμοια. Compare Gellius *noctes Atticae* XII 5. 7 neque aliud esse vere et simpliciter bonum nisi honestum, aliud quicquam malum, nisi quod turpe esset, existimatum est. reliqua omnia, quae in medio forent, ac neque honesta essent neque turpia, neque bona esse neque mala decretum est.

προηγμένα and ἀποπροηγμένα

172 Cicero *academica* I 36 cetera autem etsi nec bona nec mala essent, tamen alia secundum naturam dicebat (Zeno), alia naturae esse contraria. his ipsis alia interiecta et

media numerabat. quae autem secundum naturam essent, ea sumenda et quadam aestimatione dignanda docebat, contraque contraria: neutra autem in mediis relinquebat, in quibus ponebat nihil omnino esse momenti.

173 Stobaeus *eclogae* II 154 f. p. 84 Wachsmuth τῶν δ' ἀξίαν ἐχόντων τὰ μὲν ἔχειν πολλὴν ἀξίαν, τὰ δὲ βραχεῖαν. ὁμοίως δὲ καὶ τῶν ἀπαξίαν ἐχόντων ἃ μὲν ἔχειν πολλὴν ἀπαξίαν, ἃ δὲ βραχεῖαν. τὰ μὲν <οὖν> πολλὴν ἔχοντα ἀξίαν προηγμένα λέγεσθαι, τὰ δὲ πολλὴν ἀπαξίαν ἀποπροηγμένα, Ζήνωνος ταύτας τὰς ὀνομασίας θεμένου πρώτου τοῖς πράγμασι. προηγμένον δ' εἶναι λέγουσιν ὃ ἀδιάφορον <ὂν> ἐκλεγόμεθα κατὰ προηγούμενον λόγον. τὸν δ' ὅμοιον λόγον ἐπὶ τῷ ἀποπροηγμένῳ εἶναι καὶ τὰ παραδείγματα κατὰ τὴν ἀναλογίαν ταὐτά. οὐδὲν δὲ τῶν ἀγαθῶν εἶναι προηγμένον διὰ τὸ τὴν μεγίστην ἀξίαν αὐτὰ ἔχειν. τὸ δὲ προηγμένον, τὴν δευτέραν χώραν καὶ ἀξίαν ἔχον, συνεγγίζειν πως τῇ τῶν ἀγαθῶν φύσει· οὐδὲ γὰρ ἐν αὐλῇ τῶν προηγμένων εἶναι τὸν βασιλέα ἀλλὰ τοὺς μετ' αὐτὸν τεταγμένους. προηγμένα δὲ λέγεσθαι οὐ τῷ πρὸς εὐδαιμονίαν τινὰ συμβάλλεσθαι συνεργεῖν τε πρὸς αὐτήν, ἀλλὰ τῷ ἀναγκαῖον εἶναι τούτων τὴν ἐκλογὴν ποιεῖσθαι παρὰ τὰ ἀποπροηγμένα. Compare Cicero *de finibus* III 50–54, especially 52 ut enim, inquit (Zeno), nemo dicit in regia regem ipsum quasi productum esse ad dignitatem—id est enim προηγμένον—, sed eos, qui in aliquo honore sunt, quorum ordo proxime accedit, ut secundus sit, ad regium principatum, sic in vita non ea, quae primo ordine sunt, sed ea, quae secundum locum obtinent, προηγμένα, id est producta, nominentur; quae vel ita appellemus—id erit verbum e verbo—vel promota et remota vel, ut dudum diximus, praeposita vel praecipua, et illa reiecta; re enim intellecta in verborum usu faciles esse debemus.

174 Diogenes Laertius VII 106 f. προηγμένα μὲν οὖν εἶναι ἃ καὶ ἀξίαν ἔχει· οἷον ἐπὶ μὲν τῶν ψυχικῶν, εὐφυΐαν, τέχνην, προκοπήν, καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν σωματικῶν, ζωήν, ὑγίειαν, ῥώμην, εὐεξίαν, ἀρτιότητα, κάλλος, καὶ τὰ παραπλήσια· ἐπὶ δὲ τῶν ἐκτός, πλοῦτον, δόξαν, εὐγένειαν, καὶ τὰ ὅμοια. ἀποπροηγμένα

δὲ ἐπὶ μὲν τῶν ψυχικῶν, ἀφυΐαν, ἀτεχνίαν, καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν σωματικῶν, θάνατον, νόσον, ἀσθένειαν, καχεξίαν, πήρωσιν, αἶσχος, καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν ἐκτός, πενίαν, ἀδοξίαν, δυσγένειαν, καὶ τὰ παραπλήσια. οὔτε δὲ προήχθη οὔτε ἀποπροήχθη τὰ οὐδετέρως ἔχοντα. ἔτι τῶν προηγμένων τὰ μὲν δι' αὐτὰ προῆκται, τὰ δὲ δι' ἕτερα· τὰ δὲ καὶ δι' αὐτὰ καὶ δι' ἕτερα. καὶ δι' αὐτὰ μὲν εὐφυΐα, προκοπή, καὶ τὰ ὅμοια· δι' ἕτερα δὲ πλοῦτος, εὐγένεια, καὶ τὰ ὅμοια· δι' αὐτὰ δὲ καὶ δι' ἕτερα ἰσχύς, εὐαισθησία, ἀρτιότης. δι' αὐτὰ μέν, ὅτι κατὰ φύσιν ἐστί· δι' ἕτερα δέ, ὅτι περιποιεῖ χρείας οὐκ ὀλίγας. ὁμοίως δὲ ἔχει καὶ τὸ ἀποπροηγμένον κατὰ τὸν ἐναντίον λόγον.

Duty

175 Stobaeus *eclogae* II 158 p. 85 Wachsmuth ἀκόλουθος δ' ἐστὶ τῷ λόγῳ τῷ περὶ τῶν προηγμένων ὁ περὶ τοῦ καθήκοντος τόπος. ὁρίζεται δὲ τὸ καθῆκον τὸ ἀκόλουθον ἐν ζωῇ, ὃ πραχθὲν εὔλογον ἀπολογίαν ἔχει· παρὰ τὸ καθῆκον δὲ τὸ ἐναντίως. τοῦτο διατείνει καὶ εἰς τὰ ἄλογα τῶν ζῴων· ἐνεργεῖ γάρ τι κἀκεῖνα ἀκολούθως τῇ ἑαυτῶν φύσει· ἐπὶ <δὲ> τῶν λογικῶν ζῴων οὕτως ἀποδίδοται· τὸ ἀκόλουθον ἐν βίῳ. Compare Diogenes Laertius VII 107 and Cicero *de finibus* III 58.

Perfect and intermediate acts of duty

176 Stobaeus l.c. τῶν δὲ καθηκόντων τὰ μὲν εἶναί φασι τέλεια, ἃ δὴ καὶ κατορθώματα λέγεσθαι. κατορθώματα δ' εἶναι τὰ κατ' ἀρετὴν ἐνεργήματα, οἷον τὸ φρονεῖν, τὸ δικαιοπραγεῖν. οὐκ εἶναι δὲ κατορθώματα τὰ μὴ οὕτως ἔχοντα, ἃ δὴ οὐδὲ τέλεια καθήκοντα προσαγορεύουσιν, ἀλλὰ μέσα, οἷον τὸ γαμεῖν, τὸ πρεσβεύειν, τὸ διαλέγεσθαι, τὰ τούτοις ὅμοια . . . πᾶν δὲ τὸ παρὰ τὸ καθῆκον ἐν λογικῷ <ζῴῳ> γινόμενον ἁμάρτημα εἶναι, τὸ δὲ καθῆκον τελειωθὲν κατόρθωμα γίνεσθαι. Compare Cicero *de finibus* III 59 and *de officiis* III 14 haec enim omnia officia, de quibus his libris disputamus, *media* Stoici appellant: ea communia sunt et late patent: quae et ingenii bonitate multi assequuntur et progressione discendi. illud autem officium, quod *rectum* idem appellant, perfectum atque absolutum est, et ut idem dicunt, omnes numeros habet, nec praeter sapientem cadere in quemquam potest.

True morality

177 Stobaeus *eclogae* II 36 p. 38 Wachsmuth οἱ δὲ κατὰ Ζήνωνα τὸν Στωικὸν τροπικῶς· ἦθός ἐστι πηγὴ βίου, ἀφ' ἧς αἱ κατὰ μέρος πράξεις ῥέουσι. Seneca *de beneficiis* I 6. 2 non quid fiat aut quid detur refert, sed qua mente, quia beneficium non in eo quod fit aut datur consistit, sed in ipso dantis aut facientis animo. Cicero *paradoxa* 3. 1 parva, inquis, res est. at magna culpa. nec enim peccata rerum eventu, sed vitiis hominum metienda sunt. Compare Cleanthes apud Stobaeum *florilegium* 6. 3 p. 281 Hense

ὅστις ἐπιθυμῶν ἀνέχετ' αἰσχροῦ πράγματος,
οὗτος ποιήσει τοῦτ' ἐὰν καιρὸν λάβῃ.

πάθη

178 Diogenes Laertius VII 110 ff. ἔστι δὲ αὐτὸ τὸ πάθος κατὰ Ζήνωνα ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς κίνησις ἢ ὁρμὴ πλεονάζουσα. τῶν δὲ παθῶν τὰ ἀνωτάτω, καθά φησιν . . . Ζήνων ἐν τῷ περὶ παθῶν, εἶναι γένη τέτταρα, λύπην, φόβον, ἐπιθυμίαν, ἡδονήν. δοκεῖ δ' αὐτοῖς τὰ πάθη κρίσεις εἶναι, καθά φησι Χρύσιππος ἐν τῷ περὶ παθῶν· ἥ τε γὰρ φιλαργυρία ὑπόληψίς ἐστι τοῦ τὸ ἀργύριον καλὸν εἶναι, καὶ ἡ μέθη δὲ καὶ ἡ ἀκολασία ὁμοίως καὶ τἄλλα. καὶ τὴν μὲν λύπην εἶναι συστολὴν ἄλογον· εἴδη δ' αὐτῆς ἔλεον, φθόνον, ζῆλον, ζηλοτυπίαν, ἄχθος, ἐνόχλησιν, ἀνίαν, ὀδύνην, σύγχυσιν . . . ὁ δὲ φόβος ἐστὶ προσδοκία κακοῦ. εἰς δὲ τὸν φόβον ἀνάγεται καὶ ταῦτα, δεῖμα, ὄκνος, αἰσχύνη, ἔκπληξις, θόρυβος, ἀγωνία . . . ἡ δ' ἐπιθυμία ἐστὶν ἄλογος ὄρεξις, ὑφ' ἣν τάττεται καὶ ταῦτα, σπάνις, μῖσος, φιλονεικία, ὀργή, ἔρως, μῆνις, θυμός . . . ἡδονὴ δέ ἐστιν ἄλογος ἔπαρσις ἐφ' αἱρετῷ δοκοῦντι ὑπάρχειν, ὑφ' ἣν τάττεται κήλησις, ἐπιχαιρεκακία, τέρψις, διάχυσις. Compare Cicero *Tusculanae disputationes* IV 10 ff. and *de finibus* III 35.

Pleasure

179 Sextus Empiricus XI 73 οἱ δὲ ἀπὸ τῆς Στοᾶς ἀδιάφορον καὶ οὐ προηγμένον (τὴν ἡδονήν), ἀλλὰ Κλεάνθης μὲν μήτε κατὰ φύσιν αὐτὴν εἶναι μήτε ἀξίαν ἔχειν αὐτὴν ἐν τῷ βίῳ, καθάπερ δὲ τὸ κάλλυντρον κατὰ φύσιν μὴ εἶναι, ὁ δὲ Ἀρχέδημος κατὰ φύσιν μὲν εἶναι ὡς τὰς ἐν μασχάλῃ τρίχας, οὐχὶ δὲ καὶ ἀξίαν ἔχειν.

180 Diogenes Laertius VII 85 f. ὃ δὲ λέγουσί τινες, πρὸς ἡδονὴν γίγνεσθαι τὴν πρώτην ὁρμὴν τοῖς ζῴοις,

ψεῦδος ἀποφαίνουσιν. ἐπιγέννημα γάρ φασιν, εἰ ἄρα ἐστίν, ἡδονὴν εἶναι, ὅταν αὐτὴ καθ' αὑτὴν ἡ φύσις ἐπιζητήσασα τὰ ἐναρμόζοντα τῇ συστάσει ἀπολάβῃ· ὃν τρόπον ἀφιλαρύνεται τὰ ζῷα καὶ θάλλει τὰ φυτά.

ἀπάθεια

181 ibid. 117 *φασὶ δὲ καὶ ἀπαθῆ εἶναι τὸν σοφὸν διὰ τὸ ἀνέμπτωτον εἶναι.* Cicero *de finibus* III 35 perturbationes autem nulla naturae vi commoventur, omniaque ea sunt opiniones ac iudicia levitatis. itaque his sapiens semper vacabit. pseudo-Plutarch *de vita Homeri* II 134 *οἱ μὲν οὖν Στωικοὶ τὴν ἀρετὴν τίθενται ἐν τῇ ἀπαθείᾳ.*

εὐπάθειαι

182 Diogenes Laertius VII 116 *εἶναι δὲ καὶ εὐπαθείας φασὶ τρεῖς, χαράν, εὐλάβειαν, βούλησιν. καὶ τὴν μὲν χαρὰν ἐναντίαν φασὶν εἶναι τῇ ἡδονῇ, οὖσαν εὔλογον ἔπαρσιν· τὴν δὲ εὐλάβειαν τῷ φόβῳ, οὖσαν εὔλογον ἔκκλισιν· φοβηθήσεσθαι μὲν γὰρ τὸν σοφὸν οὐδαμῶς, εὐλαβηθήσεσθαι δέ. τῇ δὲ ἐπιθυμίᾳ ἐναντίαν φασὶν εἶναι τὴν βούλησιν, οὖσαν εὔλογον ὄρεξιν. καθάπερ οὖν ὑπὸ τὰ πρῶτα πάθη πίπτει τινά, τὸν αὐτὸν τρόπον καὶ ὑπὸ τὰς πρώτας εὐπαθείας· καὶ ὑπὸ μὲν τὴν βούλησιν, εὔνοιαν, εὐμένειαν, ἀσπασμόν, ἀγάπησιν· ὑπὸ δὲ τὴν εὐλάβειαν αἰδῶ, ἁγνείαν· ὑπὸ δὲ τὴν χαρὰν τέρψιν, εὐφροσύνην, εὐθυμίαν.*

Wise men and fools

183 Stobaeus *eclogae* II 198 p. 99 Wachsmuth *ἀρέσκει γὰρ τῷ τε Ζήνωνι καὶ τοῖς ἀπ' αὐτοῦ Στωικοῖς φιλοσόφοις δύο γένη τῶν ἀνθρώπων εἶναι, τὸ μὲν τῶν σπουδαίων, τὸ δὲ τῶν φαύλων· καὶ τὸ μὲν τῶν σπουδαίων διὰ παντὸς τοῦ βίου χρῆσθαι ταῖς ἀρεταῖς, τὸ δὲ τῶν φαύλων ταῖς κακίαις· ὅθεν τὸ μὲν ἀεὶ κατορθοῦν ἐν ἅπασιν οἷς προστίθεται, τὸ δὲ ἁμαρτάνειν.* ibid. 116 ff. pp. 65, 67 Wachsmuth *φασὶ δὲ καὶ πάντα ποιεῖν τὸν σοφὸν <κατὰ> πάσας τὰς ἀρετὰς . . . κατὰ τὸ ἀνάλογον δὲ καὶ τὸν φαῦλον πάντα ὅσα ποιεῖ κακῶς ποιεῖν καὶ κατὰ πάσας τὰς κακίας.*

The wise man an ideal

184 Seneca *de tranquillitate animi* 7. 4 ubi enim istum (sapientem) invenies, quem tot saeculis quaerimus? Plutarch *de Stoicorum repugnantiis* 1048 E *οὔτε αὑτὸν ὁ Χρύσιππος ἀποφαίνει σπουδαῖον οὔτε τινα τῶν αὑτοῦ γνωρίμων ἢ καθηγεμόνων. τί οὖν περὶ τῶν ἄλλων φρονοῦσιν ἢ ταῦτα ἅπερ λέγουσιν; μαίνεσθαι πάντας, ἀφραίνειν,*

ἀνοσίους εἶναι, ἐπ' ἄκρον ἥκειν δυστυχίας, κακοδαιμονίας ἁπάσης.

185 Diogenes Laertius VII 119 *θειούς τ' εἶναι (τοὺς σοφούς)· ἔχειν γὰρ ἐν ἑαυτοῖς οἱονεὶ θεόν.* Cicero *de finibus* III 75 quam gravis vero, quam magnifica, quam constans conficitur persona sapientis! qui, cum ratio docuerit, quod honestum esset, id esse solum bonum, semper sit necesse est beatus vereque omnia ista nomina possideat, quae irrideri ab imperitis solent. rectius enim appellabitur rex quam Tarquinius, qui nec se nec suos regere potuit, rectius magister populi—is enim est dictator—quam Sulla, qui trium pestiferorum vitiorum, luxuriae, avaritiae, crudelitatis magister fuit, rectius dives quam Crassus, qui, nisi eguisset, numquam Euphraten nulla belli causa transire voluisset. recte eius omnia dicentur, qui scit uti solus omnibus; recte etiam pulcher appellabitur; animi enim liniamenta sunt pulchriora quam corporis; recte solus liber nec dominationi cuiusquam parens nec oboediens cupiditati; recte invictus, cuius etiam si corpus constringatur, animo tamen vincula inici nulla possint. nec exspectet ullum tempus aetatis, ut tum denique iudicetur beatusne fuerit, cum extremum vitae diem morte confecerit, quod ille unus e septem sapientibus non sapienter Croesum monuit; nam si beatus umquam fuisset, beatam vitam usque ad illum a Cyro exstructum rogum pertulisset. quod si ita est, ut neque quisquam nisi bonus vir et omnes boni beati sint, quid philosophia magis colendum aut quid est virtute divinius?

Suicide

186 Plutarch *de Stoicorum repugnantiis* 1042 D *ἀλλ' οὐδὲ ὅλως, φασίν, οἴεται δεῖν Χρύσιππος οὔτε μονὴν ἐν τῷ βίῳ τοῖς ἀγαθοῖς, οὔτ' ἐξαγωγὴν τοῖς κακοῖς παραμετρεῖν, ἀλλὰ τοῖς μέσοις κατὰ φύσιν· διὸ καὶ τοῖς εὐδαιμονοῦσι γίγνεταί ποτε καθῆκον ἐξάγειν ἑαυτούς, καὶ μένειν αὖθις ἐν τῷ ζῆν τοῖς κακοδαιμονοῦσιν.* Compare Cicero *de finibus* III 60 f.

187 Diogenes Laertius VII 130 *εὐλόγως τέ φασιν ἐξάξειν ἑαυτὸν τοῦ βίου τὸν σοφόν, καὶ ὑπὲρ πατρίδος καὶ ὑπὲρ φίλων, κἂν ἐν σκληροτέρᾳ γένηται ἀλγηδόνι ἢ πηρώσεσιν ἢ*

νόσοις ἀνιάτοις. ibid. 28 f. *ἐτελεύτα δὴ (ὁ Ζήνων) οὕτως. ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε καὶ τὸν δάκτυλον περιέρρηξε. παίσας δὲ τὴν γῆν τῇ χειρί, φησὶ τὸ ἐκ τῆς Νιόβης,*

ἔρχομαι, τί μ' ἀΰεις;

καὶ παραχρῆμα ἐτελεύτησεν, ἀποπνίξας ἑαυτόν. ibid. 176 *καὶ τελευτᾷ (ὁ Κλεάνθης) τόνδε τὸν τρόπον· διῴδησεν αὐτῷ τὸ οὖλον· ἀπαγορευσάντων δὲ τῶν ἰατρῶν, δύο ἡμέρας ἀπέσχετο τροφῆς. καί πως ἔσχε καλῶς ὥστε τοὺς ἰατροὺς αὐτῷ πάντα τὰ συνήθη συγχωρεῖν· τὸν δὲ μὴ ἀνασχέσθαι, ἀλλ' εἰπόντα ἤδη αὐτῷ προωδοιπορῆσθαι, καὶ τὰς λοιπὰς ἀποσχόμενον τελευτῆσαι.*

Society and the state

188 Marcus Aurelius IX 9 *ὅσα κοινοῦ τινος μετέχει, πρὸς τὸ ὁμογενὲς σπεύδει . . . καὶ τοίνυν πᾶν τὸ κοινῆς νοερᾶς φύσεως μετέχον πρὸς τὸ συγγενὲς ὁμοίως σπεύδει, ἢ καὶ μᾶλλον. ὅσῳ γάρ ἐστι κρεῖττον παρὰ τὰ ἄλλα, τοσούτῳ καὶ πρὸς τὸ συγκιρνᾶσθαι τῷ οἰκείῳ καὶ συγχεῖσθαι ἑτοιμότερον. εὐθὺς γοῦν ἐπὶ μὲν τῶν ἀλόγων εὑρέθη σμήνη, καὶ ἀγέλαι, καὶ νεοσσοτροφίαι, καὶ οἷον ἔρωτες· ψυχαὶ γὰρ ἤδη ἦσαν ἐνταῦθα, καὶ τὸ συναγωγὸν ἐν τῷ κρείττονι ἐπιτεινόμενον εὑρίσκετο, οἷον οὔτε ἐπὶ φυτῶν ἦν, οὔτε ἐπὶ λίθων ἢ ξύλων. ἐπὶ δὲ τῶν λογικῶν ζῴων πολιτεῖαι, καὶ φιλίαι, καὶ οἶκοι, καὶ σύλλογοι, καὶ ἐν πολέμοις συνθῆκαι καὶ ἀνοχαί.*

189 Stobaeus *eclogae* II 184 f. p. 94 Wachsmuth *τό τε δίκαιόν φασι φύσει εἶναι καὶ μὴ θέσει. ἑπόμενον δὲ τούτοις ὑπάρχειν καὶ τὸ πολιτεύεσθαι τὸν σοφὸν καὶ μάλιστα ἐν ταῖς τοιαύταις πολιτείαις ταῖς ἐμφαινούσαις τινὰ προκοπὴν προς τὰς τελείας πολιτείας· καὶ τὸ νομοθετεῖν δὲ καὶ τὸ παιδεύειν ἀνθρώπους, ἔτι δὲ συγγράφειν τὰ δυνάμενα ὠφελεῖν τοὺς ἐντυγχάνοντας τοῖς γράμμασιν οἰκεῖον εἶναι τοῖς σπουδαίοις, καὶ τὸ συγκαταβαίνειν καὶ εἰς γάμον καὶ εἰς τεκνογονίαν καὶ αὑτοῦ χάριν καὶ τῆς πατρίδος, καὶ ὑπομένειν περὶ ταύτης, ἐὰν ᾖ μετρία, καὶ πόνους καὶ θάνατον.* Compare Cicero *de finibus* III 62–68.

Friendship

190 Diogenes Laertius VII 124 *λέγουσι δὲ καὶ τὴν φιλίαν ἐν μόνοις τοῖς σπουδαίοις εἶναι, διὰ τὴν ὁμοιότητα· φασὶ δ' αὐτὴν κοινωνίαν τινὰ εἶναι τῶν κατὰ τὸν βίον, χρωμένων*

ἡμῶν τοῖς φίλοις ὡς ἑαυτοῖς. Compare Cicero *de finibus* III 70.

Cosmopolitanism

191 Plutarch *de Alexandri virtute* I 329 A *καὶ μὴν ἡ πολὺ θαυμαζομένη πολιτεία τοῦ τὴν Στωικῶν αἵρεσιν καταβαλομένου Ζήνωνος εἰς ἓν τοῦτο συντείνει κεφάλαιον, ἵνα μὴ κατὰ πόλεις μηδὲ κατὰ δήμους οἰκῶμεν, ἰδίοις ἕκαστοι διωρισμένοι δικαίοις, ἀλλὰ πάντας ἀνθρώπους ἡγώμεθα δημότας καὶ πολίτας, εἷς δὲ βίος ᾖ καὶ κόσμος ὥσπερ ἀγέλης συννόμου νόμῳ κοινῷ συντρεφομένης. τοῦτο Ζήνων μὲν ἔγραψεν ὥσπερ ὄναρ ἢ εἴδωλον εὐνομίας φιλοσόφου καὶ πολιτείας ἀνατυπωσάμενος, Ἀλέξανδρος δὲ τῷ λόγῳ τὸ ἔργον παρέσχεν.* Marcus Aurelius VI 44 *πόλις καὶ πατρίς, ὡς μὲν Ἀντωνίνῳ, μοι ἡ Ῥώμη, ὡς δὲ ἀνθρώπῳ, ὁ κόσμος.*

Stoicism and Greek religion

192 Diogenes Laertius VII 147 *θεὸν δὲ εἶναι ζῷον ἀθάνατον, λογικόν, τέλειον ἢ νοερόν, ἐν εὐδαιμονίᾳ, κακοῦ παντὸς ἀνεπίδεκτον, προνοητικὸν κόσμου τε καὶ τῶν ἐν κόσμῳ· μὴ εἶναι μέντοι ἀνθρωπόμορφον. εἶναι δὲ τὸν μὲν δημιουργὸν τῶν ὅλων καὶ ὥσπερ πατέρα πάντων κοινῶς τε καὶ τὸ μέρος αὐτοῦ τὸ διῆκον διὰ πάντων, ὃ πολλαῖς προσηγορίαις προσονομάζεται κατὰ τὰς δυνάμεις. Δία μὲν γάρ φασι δι' ὃν τὰ πάντα· Ζῆνα δὲ καλοῦσι παρ' ὅσον τοῦ ζῆν αἴτιός ἐστιν ἢ διὰ τοῦ ζῆν κεχώρηκεν· Ἀθηνᾶν δὲ κατὰ τὴν εἰς αἰθέρα διάτασιν τοῦ ἡγεμονικοῦ αὐτοῦ· Ἥραν δὲ κατὰ τὴν εἰς ἀέρα· καὶ Ἥφαιστον κατὰ τὴν εἰς τὸ τεχνικὸν πῦρ· καὶ Ποσειδῶνα κατὰ τὴν εἰς τὸ ὑγρόν· καὶ Δήμητρα κατὰ τὴν εἰς γῆν· ὁμοίως δὲ καὶ τὰς ἄλλας προσηγορίας ἐχόμενοί τινος οἰκειότητος ἀπέδοσαν.* Compare Cicero *de natura deorum* I 36 and II 60–72.

193 ibid. 151 *φασὶ δὲ εἶναι καί τινας δαίμονας ἀνθρώπων συμπάθειαν ἔχοντας, ἐπόπτας τῶν ἀνθρωπείων πραγμάτων· καὶ ἥρωας τὰς ὑπολελειμμένας τῶν σπουδαίων ψυχάς.*

194 Marcus Aurelius V 27 *ὁ δαίμων, ὃν ἑκάστῳ προστάτην καὶ ἡγεμόνα ὁ Ζεὺς ἔδωκεν, ἀπόσπασμα ἑαυτοῦ.*

195 Diogenes Laertius VII 149 *καὶ μὴν καὶ μαντικὴν ὑφεστάναι πᾶσάν φασιν, εἰ καὶ πρόνοιαν εἶναι.*

Cicero *de divinatione* I 118 non placet Stoicis, singulis iecorum fissis aut avium cantibus interesse deum: neque enim decorum est nec deis dignum, nec fieri ullo pacto potest: sed ita a principio incohatum esse mundum, ut certis rebus certa signa praecurrerent, alia in extis, alia in avibus, alia in fulguribus, alia in ostentis, alia in stellis, alia in somniantium visis, alia in furentium vocibus. ea quibus bene percepta sunt, ei non saepe falluntur.

Stoicism as a religion

196 Cleanthes apud Stobaeum *eclogae* I p. 25 Wachsmuth

κύδιστ᾽ ἀθανάτων, πολυώνυμε, παγκρατὲς αἰεί,
Ζεῦ, φύσεως ἀρχηγέ, νόμου μέτα πάντα κυβερνῶν,
χαῖρε· σὲ γὰρ πάντεσσι θέμις θνητοῖσι προσαυδᾶν.
ἐκ σοῦ γὰρ γένος ἐσμέν, †ἤχου[1] μίμημα λαχόντες
μοῦνοι, ὅσα ζώει τε καὶ ἕρπει θνήτ᾽ ἐπὶ γαῖαν·
τῷ σε καθυμνήσω καὶ σὸν κράτος αἰὲν ἀείσω.
σοὶ δὴ πᾶς ὅδε κόσμος, ἑλισσόμενος περὶ γαῖαν,
πείθεται, ᾗ κεν ἄγῃς, καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται·
τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ἐνὶ χερσὶν
ἀμφήκη, πυρόεντ᾽, αἰειζώοντα κεραυνόν·
τοῦ γὰρ ὑπὸ πληγῇς φύσεως πάντ᾽ ἐρρίγα<σιν..·
ᾧ σὺ κατευθύνεις κοινὸν λόγον, ὃς διὰ πάντων
φοιτᾷ, μιγνύμενος μεγάλοις μικροῖς τε φαέσσι·
. . . . . .
ὡς τόσσος γεγαὼς ὕπατος βασιλεὺς διὰ παντός,
οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα, δαῖμον,
οὔτε κατ᾽ αἰθέριον θεῖον πόλον οὔτ᾽ ἐνὶ πόντῳ,
πλὴν ὁπόσα ῥέζουσι κακοὶ σφετέρῃσιν ἀνοίαις·
ἀλλὰ σὺ καὶ τὰ περισσά <τ᾽> ἐπίστασαι ἄρτια θεῖναι,
καὶ κοσμεῖν τἄκοσμα καὶ οὐ φίλα σοὶ φίλα ἐστίν.
ὧδε γὰρ εἰς ἓν πάντα συνήρμοκας ἐσθλὰ κακοῖσιν,
ὥσθ᾽ ἕνα γίγνεσθαι πάντων λόγον αἰὲν ἐόντα,
ὃν φεύγοντες ἐῶσιν ὅσοι θνητῶν κακοί εἰσι,
δύσμοροι, οἵ τ᾽ ἀγαθῶν μὲν ἀεὶ κτῆσιν ποθέοντες
οὔτ᾽ ἐσορῶσι θεοῦ κοινὸν νόμον οὔτε κλύουσιν,
ᾧ κεν πειθόμενοι σὺν νῷ βίον ἐσθλὸν ἔχοιεν.
αὐτοὶ δ᾽ αὖθ᾽ ὁρμῶσιν ἄνοι κακὸν ἄλλος ἐπ᾽ ἄλλο,
οἱ μὲν ὑπὲρ δόξης σπουδὴν δυσέριστον ἔχοντες,

[1] ὅλου Bergk.

οἱ δ᾽ ἐπὶ κερδοσύνας τετραμμένοι οὐδενὶ κόσμῳ,
ἄλλοι δ᾽ εἰς ἄνεσιν καὶ σώματος ἡδέα ἔργα
. . . ἐπ᾽ ἄλλοτε δ᾽ ἄλλα φέροντες,[1]
σπεύδοντες μάλα πάμπαν ἐναντία τῶνδε γενέσθαι.
ἀλλὰ Ζεῦ πάνδωρε, κελαινεφές, ἀργικέραυνε,
ἀνθρώπους <μὲν> ῥύου ἀπειροσύνης ἀπὸ λυγρῆς,
ἣν σύ, πάτερ, σκέδασον ψυχῆς ἄπο, δὸς δὲ κυρῆσαι
γνώμης, ᾗ πίσυνος σὺ δίκης μέτα πάντα κυβερνᾷς,
ὄφρ᾽ ἂν τιμηθέντες ἀμειβώμεσθά σε τιμῇ,
ὑμνοῦντες τὰ σὰ ἔργα διηνεκές, ὡς ἐπέοικε
θνητὸν ἐόντ᾽, ἐπεὶ οὔτε βροτοῖς γέρας ἄλλο τι μεῖζον,
οὔτε θεοῖς, ἢ κοινὸν ἀεὶ νόμον ἐν δίκῃ ὑμνεῖν.

[1] φέρονται Meineke.

VI GREEK PHILOSOPHY IN ROME

Attitude to philosophy

197 Ennius apud Gellium *noctes Atticae* V 15. 9

philosophandum est paucis: nam omnino haut placet.

198 Cicero *de legibus* I 53 me Athenis audire ex Phaedro meo memini, Gellium . . . cum pro consule ex praetura in Graeciam venisset, Athenis philosophos, qui tum erant, in locum unum convocasse, ipsisque magno opere auctorem fuisse, ut aliquando controversiarum aliquem facerent modum. quod si essent eo animo, ut nollent aetatem in litibus conterere, posse rem convenire: et simul operam suam illis esse pollicitum, si posset inter eos aliquid convenire.

199 Cicero *de finibus* III 4 ars est enim philosophia vitae. Idem *Tusculanae disputationes* I 5 (philosophia) illustranda et excitanda nobis est, ut si occupati profuimus aliquid civibus nostris, prosimus etiam, si possumus, otiosi.

Philosophers put down by law (161 B.C.)

200 Gellius *noctes Atticae* XV 11 C. Fannio Strabone M. Valerio Messala coss. senatus consultum de philosophis et de rhetoribus factum est: "M. Pomponius praetor senatum consuluit. quod verba facta sunt de philosophis et de rhetoribus, de ea re ita censuerunt, ut M. Pomponius praetor animadverteret curaretque, uti ei e republica fideque sua videretur, uti Romae ne essent."

The embassy of philosophers (156 B.C.)

201 Plutarch *Cato maior* 22 *ἤδη δὲ αὐτοῦ* (*τοῦ* Κάτωνος) *γέροντος γεγονότος πρέσβεις* Ἀθήνηθεν *ἦλθον εἰς* Ῥώμην *οἱ περὶ* Καρνεάδην *τὸν* Ἀκαδημιακὸν *καὶ* Διογένη *τὸν* Στωικὸν *φιλόσοφον καταδίκην τινὰ παραιτησόμενοι τοῦ δήμου τῶν* Ἀθηναίων, *ἣν ἐρήμην ὦφλον,* Ὠρωπίων *μὲν διωξάντων,* Σικυωνίων *δὲ καταψηφισαμένων, τίμημα πεντακοσίων ταλάντων ἔχουσαν. εὐθὺς οὖν οἱ φιλολογώτατοι*

τῶν νεανίσκων ἐπὶ τοὺς ἄνδρας ἵεντο καὶ συνῆσαν ἀκροώμενοι καὶ θαυμάζοντες αὐτούς· μάλιστα δ' ἡ Καρνεάδου *χάρις, ἧς δύναμίς τε πλείστη καὶ δόξα τῆς δυνάμεως οὐκ ἀποδέουσα, μεγάλων ἐπιλαβομένη καὶ φιλανθρώπων ἀκροατηρίων ὡς πνεῦμα τὴν πόλιν ἠχῆς ἐνέπλησε. καὶ λόγος κατεῖχεν ὡς ἀνὴρ* Ἕλλην *εἰς ἔκπληξιν ὑπερφυὴς πάντα κηλῶν καὶ χειρούμενος ἔρωτα δεινὸν ἐμβέβληκε τοῖς νέοις, ὑφ' οὗ τῶν ἄλλων ἡδονῶν καὶ διατριβῶν ἐκπεσόντες ἐνθουσιῶσι περὶ φιλοσοφίαν. ταῦτα τοῖς μὲν ἄλλοις ἤρεσκε* Ῥωμαίοις *γιγνόμενα—ὁ δὲ* Κάτων—*παρελθὼν εἰς τὴν σύγκλητον ἐμέμψατο τοῖς ἄρχουσιν, ὅτι πρεσβεία κάθηται πολὺν χρόνον ἄπρακτος ἀνδρῶν, οἳ περὶ παντὸς οὗ βούλοιντο ῥᾳδίως πείθειν δύνανται· δεῖν οὖν τὴν ταχίστην γνῶναί τι καὶ ψηφίσασθαι περὶ τῆς πρεσβείας, ὅπως οὗτοι μὲν ἐπὶ τὰς σχολὰς τραπόμενοι διαλέγωνται παισὶν* Ἑλλήνων, *οἱ δὲ* Ῥωμαίων *νέοι τῶν νόμων καὶ τῶν ἀρχόντων ὡς πρότερον ἀκούωσι.* Compare Cicero *academica* II 137, *Tusculanae disputationes* IV 5 and *de oratore* II 155.

Beginnings of philosophy in Rome

202 Cicero *Tusculanae disputationes* IV 5 sapientiae studium vetus id quidem in nostris, sed tamen ante Laelii aetatem et Scipionis non reperio quos appellare possim nominatim. Compare *de oratore* II 154.

Early Epicureans

203 Cicero *Tusculanae disputationes* IV 6 f. itaque illius verae elegantisque philosophiae, quae ducta a Socrate in Peripateticis adhuc permansit et idem alio modo dicentibus Stoicis, cum Academici eorum controversias disceptarent, nulla fere sunt aut pauca admodum Latina monumenta sive propter magnitudinem rerum occupationemque hominum, sive etiam quod imperitis ea probari posse non arbitrabantur: cum interim illis silentibus C. Amafinius exstitit dicens, cuius libris editis commota multitudo contulit se ad eam potissimum disciplinam, sive quod erat cognitu perfacilis, sive quod invitabantur illecebris blandis voluptatis, sive etiam, quia nihil erat prolatum melius, illud, quod erat, tenebant. post Amafinium autem multi eiusdem aemuli rationis multa cum scripsissent, Italiam totam occupaverunt, quodque maximum argumentum est non dici illa subtiliter, quod et tam facile

ediscantur et ab indoctis probentur, id illi firmamentum esse disciplinae putant.

Lucretius

204 Virgil *Georgics* II 490–492

felix qui potuit rerum cognoscere causas:
atque metus omnes et inexorabile fatum
subiecit pedibus strepitumque Acherontis avari.

205 Lucretius II 14–21

o miseras hominum mentes, o pectora caeca!
qualibus in tenebris vitae quantisque periclis
degitur hoc aevi quodcumquest! nonne videre
nil aliud sibi naturam latrare, nisi utqui
corpore seiunctus dolor absit, mente fruatur
iucundo sensu cura semota metuque?
ergo corpoream ad naturam pauca videmus
esse opus omnino, quae demant cumque dolorem.

206 ibid. 55–61

nam veluti pueri trepidant atque omnia caecis
in tenebris metuunt, sic nos in luce timemus
interdum, nilo quae sunt metuenda magis quam
quae pueri in tenebris pavitant finguntque futura.
hunc igitur terrorem animi tenebrasque necessest
non radii solis neque lucida tela diei
discutiant, sed naturae species ratioque.

207 II 1090–1104

quae bene cognita si teneas, natura videtur
libera continuo dominis privata superbis
ipsa sua per se sponte omnia dis agere expers.
nam pro sancta deum tranquilla pectora pace
quae placidum degunt aevom vitamque serenam,
quis regere immensi summam, quis habere profundi
indu manu validas potis est moderanter habenas,
quis pariter caelos omnis convertere et omnis
ignibus aetheriis terras suffire feracis,
omnibus inve locis esse omni tempore praesto,
nubibus ut tenebras faciat caelique serena
concutiat sonitu, tum fulmina mittat et aedis
saepe suas disturbet et in deserta recedens

saeviat exercens telum quod saepe nocentes
praeterit exanimatque indignos inque merentes?

208 V 419–431

nam certe neque consilio primordia rerum
ordine se suo quaeque sagaci mente locarunt
nec quos quaeque darent motus pepigere profecto,
sed quia multa modis multis primordia rerum
ex infinito iam tempore percita plagis
ponderibusque suis consuerunt concita ferri
omnimodisque coire atque omnia pertemptare,
quaecumque inter se possent congressa creare,
propterea fit uti magnum volgata per aevom
omne genus coetus et motus experiundo
tandem conveniant ea quae convecta repente
magnarum rerum fiunt exordia saepe,
terrai maris et caeli generisque animantum.

209 II 167–181

at quidam contra haec, ignari materiai,
naturam non posse deum sine numine credunt
tanto opere humanis rationibus admoderate
tempora mutare annorum frugesque creare,
et iam cetera, mortalis quae suadet adire
ipsaque deducit dux vitae dia voluptas
et res per Veneris blanditur saecla propagent,
ne genus occidat humanum. quorum omnia causa
constituisse deos cum fingunt, omnibu' rebus
magno opere a vera lapsi ratione videntur.
nam quamvis rerum ignorem primordia quae sint,
hoc tamen ex ipsis caeli rationibus ausim
confirmare aliisque ex rebus reddere multis,
nequaquam nobis divinitus esse creatam
naturam mundi: tanta stat praedita culpa.

210 III 830–842

nil igitur mors est ad nos neque pertinet hilum,
quandoquidem natura animi mortalis habetur,
et velut anteacto nil tempore sensimus aegri,
ad confligendum venientibus undique Poenis,

omnia cum belli trepido concussa tumultu
horrida contremuere sub altis aetheris oris,
in dubioque fuere utrorum ad regna cadendum
omnibus humanis esset terraque marique,
sic, ubi non erimus, cum corporis atque animai
discidium fuerit quibus e sumus uniter apti,
scilicet haud nobis quicquam, qui non erimus tum,
accidere omnino poterit sensumque movere,
non si terra mari miscebitur et mare caelo.

211 ibid. 1042–1052

ipse Epicurus obit decurso lumine vitae,
qui genus humanum ingenio superavit et omnis
restinxit, stellas exortus ut aetherius sol.
tu vero dubitabis et indignabere obire?
mortua cui vita est prope iam vivo atque videnti,
qui somno partem maiorem conteris aevi
et vigilans stertis nec somnia cernere cessas
sollicitamque geris cassa formidine mentem
nec reperire potes tibi quid sit saepe mali, cum
ebrius urgeris multis miser undique curis
atque animi incerto fluitans errore vagaris.

212 II 646–651

omnis enim per se divom natura necessest
inmortali aevo summa cum pace fruatur
semota ab nostris rebus seiunctaque longe.
nam privata dolore omni, privata periclis,
ipsa suis pollens opibus, nil indiga nostri,
nec bene promeritis capitur neque tangitur ira.

213 V 1198–1203

nec pietas ullast velatum saepe videri
vertier ad lapidem atque omnis accedere ad aras
nec procumbere humi prostratum et pandere palmas
ante deum delubra nec aras sanguine multo
spargere quadrupedum nec votis nectere vota,
sed mage pacata posse omnia mente tueri.

Panaetius ob. circa 110 B.C.

214 Suidas s.v. *Παναίτιος . . .* Ῥόδιος *φιλόσοφος Στωικὸς . . . ὃς καθηγήσατο καὶ Σκιπίωνος τοῦ ἐπικληθέντος* Ἀφρικανοῦ *μετὰ* Πολύβιον Μεγαλοπολίτην. *ἐτελεύτησε δ' ἐν* Ἀθήναις.

215 Cicero *de finibus* IV 79 quam illorum (Stoicorum priorum) tristitiam atque asperitatem fugiens Panaetius nec acerbitatem sententiarum nec disserendi spinas probavit, fuitque in altero genere mitior, in altero illustrior, semperque habuit in ore Platonem, Aristotelem, Xenocratem, Theophrastum, Dicaearchum, ut ipsius scripta declarant.

216 Philo *de incorruptibilitate mundi* 497 *Βόηθος γοῦν καὶ . . .* Παναίτιος *. . . τὰς ἐκπυρώσεις καὶ παλιγγενεσίας καταλιπόντες, πρὸς θειότερον δόγμα τὸ τῆς ἀφθαρσίας τοῦ κόσμου παντὸς ηὐτομόλησαν.*

217 Gellius *noctes Atticae* XII 5. 10 *ἀναλγησία* enim atque *ἀπάθεια* non meo tantum, inquit (Taurus), sed quorundam etiam ex eadem porticu prudentiorum hominum, sicuti iudicio Panaetii . . . improbata abiectaque est.

218 Sextus Empiricus XI 73 Παναίτιος *δὲ τινὰ μὲν κατὰ φύσιν ὑπάρχειν (ἡδονήν), τινὰ δὲ παρὰ φύσιν.*

219 Cicero *de divinatione* I 6 sed a Stoicis vel princeps eius disciplinae, Posidonii doctor, discipulus Antipatri, degeneravit Panaetius: nec tamen ausus est negare vim esse divinandi, sed dubitare se dixit.

220 Suidas s.v. Ποσειδώνιος Ἀπαμεὺς *ἐκ* Συρίας *ἢ* Ῥόδιος, *φιλόσοφος* Στωικός, *ὃς ἐπεκλήθη ἀθλητής· σχολὴν δ' ἔσχεν ἐν* Ῥόδῳ, *διάδοχος γεγονὼς καὶ μαθητὴς* Παναιτίου. *ἦλθε δὲ καὶ εἰς* Ῥώμην *ἐπὶ* Μάρκου Μαρκέλλου (51 B.C.). *ἔγραψε πολλά.* Posidonius

221 Strabo XVI 2. 10 Ποσειδώνιος *ὁ* Στωικός, *ἀνὴρ τῶν καθ' ἡμᾶς φιλοσόφων πολυμαθέστατος.* II 3. 8 *πολὺ γάρ ἐστι τὸ αἰτιολογικὸν παρ' αὐτῷ καὶ τὸ* Ἀριστοτελίζον.

222 Cicero *Tusculanae disputationes* II 61 noster Posidonius, quem et ipse saepe vidi et id dicam, quod solebat narrare Pompeius: se, cum Rhodum venisset decedens ex Syria, audire voluisse Posidonium; sed cum audisset eum graviter esse aegrum, quod vehementer eius artus laborarent, voluisse tamen nobilissimum philosophum visere; quem ut vidisset et salutavisset honorificisque verbis prosecutus esset

molesteque se dixisset ferre, quod eum non posset audire; at ille: 'Tu vero,' inquit, 'potes, nec committam, ut dolor corporis efficiat, ut frustra tantus vir ad me venerit.' itaque narrabat eum graviter et copiose de hoc ipso, nihil esse bonum, nisi quod esset honestum, cubantem disputavisse, cumque quasi faces ei doloris admoverentur, saepe dixisse: 'Nihil agis, dolor! quamvis sis molestus, numquam te esse confitebor malum.'

Cicero

223 *academica* I 11 ego autem—dicam enim, ut res est—dum me ambitio, dum honores, dum causae, dum rei publicae non solum cura, sed quaedam etiam procuratio multis officiis implicatum et constrictum tenebat, haec inclusa habebam et, ne obsolescerent, renovabam, cum licebat, legendo. nunc vero et fortunae gravissimo percussus vulnere et administratione rei publicae liberatus, doloris medicinam a philosophia peto et otii oblectationem hanc honestissimam iudico. aut enim huic aetati hoc maxime aptum est aut eis rebus, si quas dignas laude gessimus, hoc in primis consentaneum aut etiam ad nostros cives erudiendos nihil utilius aut, si haec ita non sunt, nihil aliud video quod agere possimus. Compare *de finibus* I 10 and *Tusculanae disputationes* I 1.

224 *ad Atticum* XII 52. 3 ἀπόγραφα sunt: minore labore fiunt: verba tantum affero, quibus abundo. *de finibus* I 6 quid, si nos non interpretum fungimur munere, sed tuemur ea, quae dicta sunt ab eis, quos probamus, eisque nostrum iudicium et nostrum scribendi ordinem adiungimus? quid habent cur Graeca anteponant eis, quae et splendide dicta sint neque sint conversa de Graecis?

225 *academica* I 13 sed de te ipso quid est, inquit, quod audio? quanam, inquam, de re? relictam a te veterem illam, inquit, tractari autem novam. quid ergo? inquam. Antiocho id magis licuerit, nostro familiari, remigrare in domum veterem e nova quam nobis in novam e vetere? *de officiis* III 20 nobis autem nostra Academia magnam licentiam dat, ut quodcunque maxime probabile occurrat, id nostro iure liceat defendere. Compare *Tusculanae disputationes* V 33 nos in diem vivimus: quodcumque nostros animos probabilitate percussit, id dicimus: itaque soli sumus liberi, and *de natura deorum* I 12 non enim sumus ei, quibus nihil verum esse videatur, sed ei, qui omnibus veris falsa quaedam adiuncta esse dicamus, tanta similitudine, ut in eis nulla insit certa iudicandi et assentiendi nota. ex quo exsistit illud, multa esse probabilia, quae quamquam non perciperentur, tamen, quia visum quendam haberent insignem et illustrem, eis sapientis vita regeretur.

226 *de natura deorum* I 10 qui autem requirunt quid quaque de re ipsi sentiamus, curiosius id faciunt quam necesse est. non enim tam auctores in disputando quam rationis momenta quaerenda sunt. quin etiam obest plerumque eis, qui discere volunt, auctoritas eorum, qui se docere profitentur: desinunt enim suum iudicium adhibere, id habent ratum, quod ab eo, quem probant, iudicatum vident. nec vero probare soleo id, quod de Pythagoreis accepimus, quos ferunt, si quid affirmarent in disputando, cum ex eis quaereretur, quare ita esset, respondere solitos: 'Ipse dixit.' 'Ipse' autem erat Pythagoras. tantum opinio praeiudicata poterat, ut etiam sine ratione valeret auctoritas.

227 *Tusculanae disputationes* V 82 te nulla vincula impediunt ullius certae disciplinae libasque ex omnibus quodcumque te maxime specie veritatis movet.

228 *de natura deorum* I 60 omnibus fere in rebus, et maxime in physicis, quid non sit citius quam quid sit dixerim.

229 *Tusculanae disputationes* III 2 quod si talis nos natura genuisset, ut eam ipsam intueri et perspicere eademque optima duce cursum vitae conficere possemus, haud erat sane, quod quisquam rationem ac doctrinam requireret. nunc parvulos nobis dedit igniculos, quos celeriter malis moribus opinionibusque depravati sic restinguimus, ut nusquam naturae lumen appareat. sunt enim ingeniis nostris semina innata virtutum, quae si adolescere liceret, ipsa nos ad beatam vitam natura perduceret. Compare *de finibus* V 59 f.

230 *de legibus* I 24 f. nam cum de natura hominis quaeritur, disputari solet (et nimirum ita sunt ut disputantur) perpetuis cursibus conversionibusque caelestibus exstitisse quandam maturitatem serendi generis humani: quod sparsum in terras

atque satum divino auctum sit animorum munere. cumque alia, quibus cohaererent homines, e mortali genere sumpserint, quae fragilia essent et caduca, animum esse ingeneratum a deo. ex quo vere vel agnatio nobis cum caelestibus, vel genus vel stirps appellari potest. itaque ex tot generibus nullum est animal praeter hominem, quod habeat notitiam aliquam dei; ipsisque in hominibus nulla gens est neque tam immansueta neque tam fera, quae non, etiam si ignoret, qualem habere deum deceat, tamen habendum sciat. ex quo efficitur illud, ut is agnoscat deum qui, unde ortus sit, quasi recordetur ac noscat.

Virgil

231 *Aeneid* VI 724–75

Principio caelum ac terram camposque liquentis
lucentemque globum lunae Titaniaque astra
spiritus intus alit, totamque infusa per artus
mens agitat molem et magno se corpore miscet.
inde hominum pecudumque genus vitaeque volantum
et quae marmoreo fert monstra sub aequore pontus.
igneus est ollis vigor et caelestis origo
seminibus, quantum non corpora noxia tardant
terrenique hebetant artus moribundaque membra.
hinc metuunt cupiuntque, dolent gaudentque, neque auras
dispiciunt clausae tenebris et carcere caeco.
quin et supremo cum lumine vita reliquit,
non tamen omne malum miseris nec funditus omnes
corporeae excedunt pestes, penitusque necesse est
multa diu concreta modis inolescere miris.
ergo exercentur poenis veterumque malorum
supplicia expendunt. aliae panduntur inanes
suspensae ad ventos, aliis sub gurgite vasto
infectum eluitur scelus aut exuritur igni.
quisque suos patimur manis; exinde per amplum
mittimur Elysium et pauci laeta arva tenemus;
donec longa dies, perfecto temporis orbe,
concretam exemit labem purumque relinquit
aetherium sensum atque aurai simplicis ignem.
has omnis, ubi mille rotam volvere per annos,
Lethaeum ad fluvium deus evocat agmine magno,

scilicet inmemores super ut convexa revisant
rursus et incipiant in corpora velle reverti.

232 Seneca *naturales quaestiones* III praefatio 10–17 quid praecipuum in rebus humanis est? non classibus maria conplesse nec in rubri maris litore signa fixisse nec deficiente ad iniurias terra errasse in oceano ignota quaerentem, sed animo omnia vidisse et, qua maior nulla victoria est, vitia domuisse. innumerabiles sunt, qui populos, qui urbes habuerunt in potestate, paucissimi, qui se. quid est praecipuum? erigere animum supra minas et promissa fortunae, nihil dignum illam habere putare, quod speres: quid enim habet dignum, quod concupiscas? qui a divinorum conversatione quotiens ad humana recideris, non aliter caligabis quam quorum oculi in densam umbram ex claro sole redierunt. quid est praecipuum? posse laeto animo adversa tolerare. quidquid acciderit, sic ferre, quasi volueris tibi accidere. debuisses enim velle, si scisses omnia ex decreto dei fieri: flere, queri, gemere desciscere est. quid est praecipuum? animus contra calamitates fortis et contumax, luxuriae non adversus tantum, sed infestus, nec avidus periculi nec fugax, qui sciat fortunam non exspectare sed facere, et adversus utramque intrepidus inconfususque prodire, nec illius tumultu nec huius fulgore percussus. quid est praecipuum? non admittere in animo mala consilia, puras ad caelum manus extollere, nullum bonum petere, quod ut ad te transeat, aliquis dare debet, aliquis amittere, optare, quod sine adversario optatur, bonam mentem: cetera magno aestimata mortalibus, etiamsi quis domum casus adtulerit, sic intueri, quasi exitura, qua venerunt. quid est praecipuum? altos supra fortuita spiritus tollere, hominis meminisse, ut, sive felix eris, scias hoc non futurum diu, sive infelix, scias te hoc non esse, si non putes. quid est praecipuum? in primis labris animam habere. haec res efficit non e iure Quiritium liberum, sed e iure naturae. liber autem est, qui servitutem suam effugit. haec est adsidua et ineluctabilis et per diem et per noctem aequaliter premens, sine intervallo, sine commeatu. sibi servire gravissima est servitus: quam discutere facile

Seneca

est, si desieris multa te poscere, si desieris tibi referre mercedem, si ante oculos et naturam tuam et aetatem posueris, licet prima sit, ac tibi ipse dixeris: quid insanio? quid anhelo? quid sudo? quid terram, quid forum verso? nec multo opus est nec diu.

233 *epistulae* 92. 30 'sed si cui virtus animusque in corpore praesens,' hic deos aequat. illo tendit originis suae memor. nemo inprobe eo conatur adscendere, unde descenderat. quid est autem cur non existimes in eo divini aliquid exsistere, qui dei pars est? totum hoc, quo continemur, et unum est et deus: et socii sumus eius et membra. ibid. 73. 15 miraris hominem ad deos ire? deus ad homines venit, immo, quod est propius, in homines venit: nulla sine deo mens bona est. semina in corporibus humanis divina dispersa sunt, quae si bonus cultor excipit, similia origini prodeunt et paria his, ex quibus orta sunt, surgunt: si malus, non aliter quam humus sterilis ac palustris necat ac deinde creat purgamenta pro frugibus.

234 ibid. 102. 26 dies iste, quem tamquam extremum reformidas, aeterni natalis est. depone onus: quid cunctaris?

Musonius

235 Musonius apud Stobaeum *eclogae* II 426 p. 183 Wachsmuth πάντες, ἔφη, φύσει πεφύκαμεν οὕτως, ὥστε ζῆν ἀναμαρτήτως καὶ καλῶς, οὐχ ὁ μὲν ἡμῶν, ὁ δ' οὔ.

236 apud Stobaeum *florilegium* 117. 8 IV p. 88 Meineke ἄγει γὰρ ἡ ἑκάστου φύσις ἕκαστον πρὸς τὴν ἀρετὴν τὴν ἐκείνου· ὥστε καὶ τὸν ἄνθρωπον εἰκὸς οὐχ ὅταν ἐν ἡδονῇ βιῷ, τότε κατὰ φύσιν βιοῦν, ἀλλ' ὅταν ἐν ἀρετῇ. καθόλου δὲ ἄνθρωπος μίμημα μὲν θεοῦ μόνον τῶν ἐπιγείων ἐστίν, ἐκείνῳ δὲ παραπλησίας ἔχει τὰς ἀρετάς· ἐπεὶ μηδ' ἐν θεοῖς μηδὲν ὑπονοῆσαι κρεῖττον ἔχομεν φρονήσεως καὶ δικαιοσύνης, ἔτι δὲ ἀνδρείας καὶ σωφροσύνης. ὥσπερ οὖν ὁ θεὸς διὰ τὴν παρουσίαν τούτων τῶν ἀρετῶν ἀήττητος μὲν ἡδονῆς ἀήττητος δὲ πλεονεξίας, κρείττων δ' ἐπιθυμίας κρείττων δὲ φθόνου καὶ ζηλοτυπίας, μεγαλόφρων δὲ καὶ εὐεργετικὸς καὶ φιλάνθρωπος (τοιοῦτον γὰρ ἐπινοοῦμεν τὸν θεόν), οὕτω καὶ τὸ ἐκείνου μίμημα τὸν ἄνθρωπον ἡγητεόν, ὅταν ἔχῃ κατὰ φύσιν, ὁμοίως

ἔχειν καὶ οὕτως ἔχοντα εἶναι ζηλωτόν· ὢν δὲ ζηλωτὸς εὐθὺς ἂν εἴη καὶ εὐδαίμων· οὐ γὰρ ἄλλους γέ τινας ἢ τοὺς εὐδαίμονας ζηλοῦμεν.

Epictetus

237 Suidas s.v. Ἐπίκτητος Ἱεραπόλεως τῆς Φρυγίας, φιλόσοφος, δοῦλος Ἐπαφροδίτου τῶν σωματοφυλάκων τοῦ βασιλέως Νέρωνος. πηρωθεὶς δὲ τὸ σκέλος ὑπὸ ῥεύματος ἐν Νικοπόλει τῆς νέας Ἠπείρου ᾤκησε, καὶ διατείνας μέχρι Μάρκου Ἀντωνίνου ἔγραψε πολλά.

238 *dissertationes* II 8. 9–14 οὐ θέλεις οὖν ἐκεῖ ζητεῖν τὴν οὐσίαν τοῦ ἀγαθοῦ, οὗ μὴ παρόντος ἐπ' οὐδενὸς τῶν ἄλλων θέλεις λέγειν τὸ ἀγαθόν; "τί οὖν; οὐκ ἔστι θεῶν ἔργα κἀκεῖνα;" ἔστιν, ἀλλ' οὐ προηγούμενα οὐδὲ μέρη θεῶν. σὺ δὲ προηγούμενον εἶ, σὺ ἀπόσπασμα εἶ τοῦ θεοῦ· ἔχεις τι ἐν σεαυτῷ μέρος ἐκείνου. τί οὖν ἀγνοεῖς σου τὴν εὐγένειαν; τί οὐκ οἶδας, πόθεν ἐλήλυθας; οὐ θέλεις μεμνῆσθαι, ὅταν ἐσθίῃς, τίς ὢν ἐσθίεις καὶ τίνα τρέφεις; ὅταν συνουσίᾳ χρῇ, τίς ὢν χρῇ; ὅταν ὁμιλίᾳ, ὅταν γυμνάζῃ, ὅταν διαλέγῃ, οὐκ οἶδας ὅτι θεὸν τρέφεις, θεὸν γυμνάζεις; θεὸν περιφέρεις, τάλας, καὶ ἀγνοεῖς. δοκεῖς με λέγειν ἀργυροῦν τινα ἢ χρυσοῦν ἔξωθεν; ἐν σαυτῷ φέρεις αὐτὸν καὶ μολύνων οὐκ αἰσθάνῃ ἀκαθάρτοις μὲν διανοήμασι, ῥυπαραῖς δὲ πράξεσι. καὶ ἀγάλματος μὲν τοῦ θεοῦ παρόντος οὐκ ἂν τολμήσαις τι τούτων ποιεῖν ὧν ποιεῖς· αὐτοῦ δὲ τοῦ θεοῦ παρόντος ἔσωθεν καὶ ἐφορῶντος πάντα καὶ ἐπακούοντος οὐκ αἰσχύνῃ ταῦτα ἐνθυμούμενος καὶ ποιῶν, ἀναίσθητε τῆς σαυτοῦ φύσεως καὶ θεοχόλωτε.

239 I 14. 12 ἀλλ' οὖν οὐδὲν ἧττον καὶ ἐπίτροπον ἑκάστῳ παρέστησεν (ὁ Ζεὺς) τὸν ἑκάστου δαίμονα καὶ παρέδωκεν φυλάσσειν αὐτὸν αὐτῷ καὶ τοῦτον ἀκοίμητον καὶ ἀπαραλόγιστον. τίνι γὰρ ἄλλῳ κρείττονι καὶ ἐπιμελεστέρῳ φύλακι παρέδωκεν ἡμῶν ἕκαστον;

240 IV 1. 1 ἐλεύθερός ἐστιν ὁ ζῶν ὡς βούλεται, ὃν οὔτ' ἀναγκάσαι ἔστιν οὔτε κωλῦσαι οὔτε βιάσασθαι, οὗ αἱ ὁρμαὶ ἀνεμπόδιστοι, αἱ ὀρέξεις ἐπιτευκτικαί, αἱ ἐκκλίσεις ἀπερίπτωτοι. τίς οὖν θέλει ζῆν ἁμαρτάνων; Οὐδείς. Τίς θέλει ζῆν ἐξαπατώμενος, προπίπτων, ἄδικος ὤν, ἀκόλαστος, μεμψίμοιρος, ταπεινός; Οὐδείς. Οὐδεὶς ἄρα

τῶν φαύλων ζῇ ὡς βούλεται· οὐ τοίνυν οὐδ' ἐλεύθερός ἐστι. τίς δὲ θέλει λυπούμενος ζῆν, φοβούμενος, φθονῶν, ἐλεῶν, ὀρεγόμενος καὶ ἀποτυγχάνων, ἐκκλίνων καὶ περιπίπτων; Οὐδὲ εἷς. Ἔχομεν οὖν τινα τῶν φαύλων ἄλυπον, ἄφοβον, ἀπερίπτωτον, ἀναπότευκτον; Οὐδένα. Οὐκ ἄρα οὐδὲ ἐλεύθερον. Compare fragment 8 Schweighäuser *ἐλευθερία καὶ δουλεία, τὸ μὲν ἀρετῆς ὄνομα, τὸ δὲ κακίας, ἄμφω δὲ προαιρέσεως ἔργα.*

241 *dissertationes* I 13. 3 ff. *πῶς οὖν τις ἀνάσχηται τῶν τοιούτων* (recalcitrant slaves); *Ἀνδραπόδον, οὐκ ἀνέξῃ τοῦ ἀδελφοῦ τοῦ σαυτοῦ, ὃς ἔχει τὸν Δία πρόγονον, ὥσπερ υἱὸς ἐκ τῶν αὐτῶν σπερμάτων γέγονεν καὶ τῆς αὐτῆς ἄνωθεν καταβολῆς, ἀλλ' εἰ ἔν τινι τοιαύτῃ χώρᾳ κατετάγης ὑπερεχούσῃ, εὐθὺς τύραννον καταστήσεις σεαυτόν; οὐ μεμνήσῃ τί εἶ καὶ τίνων ἄρχεις; ὅτι συγγενῶν, ὅτι ἀδελφῶν φύσει, ὅτι τοῦ Διὸς ἀπογόνων;*

242 fragment 136 Schweighäuser *πάντα ὑπακούει τῷ κόσμῳ καὶ ὑπηρετεῖ καὶ γῆ καὶ θάλασσα καὶ ἥλιος καὶ τὰ λοιπὰ ἄστρα καὶ τὰ γῆς φυτὰ καὶ ζῷα· ὑπακούει δὲ αὐτῷ καὶ τὸ ἡμέτερον σῶμα καὶ νοσοῦν καὶ ὑγιαῖνον, ὅταν ἐκεῖνος θέλῃ, καὶ νεάζον καὶ γηρῶν καὶ τὰς ἄλλας διερχόμενον μεταβολάς. οὐκοῦν εὔλογον καὶ ὃ ἐφ' ἡμῖν ἐστι, τουτέστι τὴν κρίσιν, μὴ ἀντιτείνειν μόνην πρὸς αὐτόν· καὶ γὰρ ἰσχυρός ἐστι καὶ κρείσσων καὶ ἄμεινον ὑπὲρ ἡμῶν βεβούλευται μετὰ τῶν ὅλων καὶ ἡμᾶς συνδιοικῶν.*

243 *dissertationes* I 16. 15 ff. *εἰ γὰρ νοῦν εἴχομεν, ἄλλο τι ἔδει ἡμᾶς ποιεῖν καὶ κοινῇ καὶ ἰδίᾳ ἢ ὑμνεῖν τὸ θεῖον καὶ εὐφημεῖν καὶ ἐπεξέρχεσθαι τὰς χάριτας; οὐκ ἔδει καὶ σκάπτοντας καὶ ἀροῦντας καὶ ἐσθίοντας ᾄδειν τὸν ὕμνον τὸν εἰς τὸν θεόν; "μέγας ὁ θεός, ὅτι ἡμῖν παρέσχεν ὄργανα ταῦτα δι' ὧν τὴν γῆν ἐργασόμεθα· μέγας ὁ θεός, ὅτι χεῖρας δέδωκεν, ὅτι κατάποσιν, ὅτι κοιλίαν, ὅτι αὔξεσθαι λεληθότως, ὅτι καθεύδοντας ἀναπνεῖν." ταῦτα ἐφ' ἑκάστου ἐφυμνεῖν ἔδει καὶ τὸν μέγιστον καὶ θειότατον ὕμνον ἐφυμνεῖν, ὅτι τὴν δύναμιν ἔδωκεν τὴν παρακολουθητικὴν τούτοις καὶ ὁδῷ χρηστικήν. τί οὖν; ἐπεὶ οἱ πολλοὶ ἀποτετύφλωσθε, οὐκ ἔδει τινὰ εἶναι τὸν ταύτην ἐκπληροῦντα τὴν χώραν καὶ ὑπὲρ πάντων ᾄδοντα τὸν ὕμνον*

τὸν εἰς τὸν θεόν; τί γὰρ ἄλλο δύναμαι γέρων χωλὸς εἰ μὴ ὑμνεῖν τὸν θεόν; εἰ γοῦν ἀηδὼν ἤμην, ἐποίουν τὰ τῆς ἀηδόνος, εἰ κύκνος, τὰ τοῦ κύκνου. νῦν δὲ λογικός εἰμι· ὑμνεῖν με δεῖ τὸν θεόν. τοῦτό μου τὸ ἔργον ἐστίν, ποιῶ αὐτὸ οὐδ' ἐγκαταλείψω τὴν τάξιν ταύτην, ἐφ' ὅσον ἂν δίδωται καὶ ὑμᾶς ἐπὶ τὴν αὐτὴν ταύτην ᾠδὴν παρακαλῶ.

Marcus Aurelius

244 II 17 *συνελόντι δὲ εἰπεῖν, πάντα, τὰ μὲν τοῦ σώματος, ποταμός, τὰ δὲ τῆς ψυχῆς, ὄνειρος καὶ τῦφος· ὁ δὲ βίος, πόλεμος καὶ ξένου ἐπιδημία· ἡ ὑστεροφημία δέ, λήθη. τί οὖν τὸ παραπέμψαι δυνάμενον; ἓν καὶ μόνον φιλοσοφία. τοῦτο δὲ ἐν τῷ τηρεῖν τὸν ἔνδον δαίμονα ἀνύβριστον, καὶ ἀσινῆ, ἡδονῶν καὶ πόνων κρείσσονα, μηδὲν εἰκῇ ποιοῦντα, μηδὲ διεψευσμένως καὶ μεθ' ὑποκρίσεως, ἀνενδεῆ τοῦ ἄλλον ποιῆσαί τι ἢ μὴ ποιῆσαι· ἔτι δὲ τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα δεχόμενον, ὡς ἐκεῖθέν ποθεν ἐρχόμενα, ὅθεν αὐτὸς ἦλθεν· ἐπὶ πᾶσι δὲ τὸν θάνατον ἵλεῳ τῇ γνώμῃ περιμένοντα, ὡς οὐδὲν ἄλλο ἢ λύσιν τῶν στοιχείων, ἐξ ὧν ἕκαστον ζῷον συγκρίνεται. εἰ δὲ αὐτοῖς τοῖς στοιχείοις μηδὲν δεινὸν ἐν τῷ ἕκαστον διηνεκῶς εἰς ἕτερον μεταβάλλειν, διὰ τί ὑπίδηταί τις τὴν πάντων μεταβολὴν καὶ διάλυσιν; κατὰ φύσιν γάρ· οὐδὲν δὲ κακὸν κατὰ φύσιν.*

245 III 4 *μέμνηται δὲ* (sc. the good man) *καὶ ὅτι συγγενὲς πᾶν τὸ λογικόν· καὶ ὅτι κήδεσθαι μὲν πάντων ἀνθρώπων κατὰ τὴν τοῦ ἀνθρώπου φύσιν ἐστί· δόξης δὲ οὐχὶ τῆς παρὰ πάντων ἀνθεκτέον, ἀλλὰ τῶν ὁμολογουμένως τῇ φύσει βιούντων μόνον.*

246 II 11 *τὸ δὲ ἐξ ἀνθρώπων ἀπελθεῖν, εἰ μὲν θεοί εἰσιν, οὐδὲν δεινόν· κακῷ γάρ σε οὐκ ἂν περιβάλοιεν· εἰ δὲ ἤτοι οὐκ εἰσίν, ἢ οὐ μέλει αὐτοῖς τῶν ἀνθρωπείων, τί μοι ζῆν ἐν κοσμῷ κενῷ θεῶν, ἢ προνοίας κενῷ; ἀλλὰ καὶ εἰσί, καὶ μέλει αὐτοῖς τῶν ἀνθρωπείων· καὶ τοῖς μὲν κατ' ἀλήθειαν κακοῖς ἵνα μὴ περιπίπτῃ ὁ ἄνθρωπος, ἐπ' αὐτῷ τὸ πᾶν ἔθεντο· τῶν δὲ λοιπῶν εἴ τι κακὸν ἦν, καὶ τοῦτο ἂν προείδοντο, ἵνα ἐπῆν* (*ἐπῇ* codd.) *πάντῃ τὸ μὴ περιπίπτειν αὐτῷ.*

247 IV 14 *ἐνυπέστης, ὡς μέρος. ἐναφανισθήσῃ τῷ*

γεννήσαντι· μᾶλλον δὲ ἀναληφθήσῃ εἰς τὸν λόγον αὐτοῦ τὸν σπερματικὸν κατὰ μεταβολήν.

248 V 33 τί οὖν; περιμένεις ἵλεως τὴν εἴτε σβέσιν εἴτε μετάστασιν· ἕως δὲ ἐκείνης ὁ καιρὸς ἐφίσταται, τί ἀρκεῖ; τί δ' ἄλλο ἢ θεοὺς μὲν σέβειν καὶ εὐφημεῖν, ἀνθρώπους δὲ εὖ ποιεῖν, καὶ ἀνέχεσθαι αὐτῶν καὶ ἀπέχεσθαι.

ἔμφυτον παντὶ γένει ἀνθρώπων σπέρμα τοῦ λόγου

Printed by R. & R. CLARK, LIMITED, *Edinburgh*.

THE WORKS OF ARISTOTLE.

The Metaphysics. Book I. Translated by a Cambridge Graduate. 8vo. 5s.

The Politics. Books I.-V. By F. SUSEMIHL and R. D. HICKS, M.A., Fellow of Trinity College, Cambridge. 8vo. 18s. net.

The Politics. Translated by Bishop WELLDON. Crown 8vo. 10s. 6d.

The Rhetoric. Translated by Bishop WELLDON. Crown 8vo. 7s. 6d.

The Nicomachean Ethics. Translated by Bishop WELLDON. Crown 8vo. 7s. 6d.

An Introduction to Aristotle's Rhetoric. With Analysis, Notes, and Appendices. By E. M. COPE, Fellow and late Tutor of Trinity College, Cambridge. 8vo. 14s.

The Sophistici Elenchi. With Translation by E. POSTE, M.A., Fellow of Oriel College, Oxford. 8vo. 8s. 6d.

On the Constitution of Athens. By J. E. SANDYS, Litt.D. 8vo. 15s.

On the Art of Poetry. A Lecture. By A. O. PRICKARD, M.A. Crown 8vo. 3s. 6d.

The Poetics. Translated with Essays by S. H. BUTCHER, Litt.D. 8vo. 12s. 6d. net. Text and Translation separately. 4s. 6d. net.

THE WORKS OF PLATO.

Phaedo. By R. D. ARCHER-HIND, M.A., Fellow of Trinity College, Cambridge. Second Edition. 8vo. 8s. 6d.

Timaeus. With Translation. By R. D. ARCHER-HIND, M.A. 8vo. 16s.

The Republic of Plato. Translated by J. LL. DAVIES, M.A., and D. J. VAUGHAN, M.A. Pott 8vo. 2s. 6d. net.

Euthyphro, Apology, Crito, and Phaedo. Translated by F. J. CHURCH. Pott 8vo. 2s. 6d. net.

Phaedrus, Lysis, and Protagoras. Translated by J. WRIGHT, M.A. Pott 8vo. 2s. 6d. net.

Lectures on the Republic of Plato. By R. L. NETTLESHIP Edited by G. R. BENSON. 8vo. 8s. 6d. net.

Greek Studies. By WALTER H. PATER, M.A. Extra Crown 8vo. 10s. 6d.

Plato and Platonism. By WALTER H. PATER. Extra Crown 8vo. 8s. 6d.

Marcus Aurelius Antoninus. Book IV. of the Meditations. With Translation. By HASTINGS CROSSLEY, M.A. 8vo. 6s.

Texts to Illustrate a Course of Elementary Lectures on the History of Greek Philosophy from Thales to Aristotle. Compiled by Dr. HENRY JACKSON. 8vo. 4s. 6d. net.

A Sketch of the Development of Philosophic Thought from Thales to Kant. By LUDWIG NOIRE. 8vo. 7s. 6d. net.

LONDON: MACMILLAN AND CO., LIMITED.

IMPORTANT NEW WORK.

In Three Volumes. Large 8vo. With Illustrations.
Now Ready, Volume I.—A. to LAW. 21*s. net.*

DICTIONARY OF PHILOSOPHY AND PSYCHOLOGY

INCLUDING

MANY OF THE PRINCIPAL CONCEPTIONS OF ETHICS, LOGIC, ÆSTHETICS, PHILOSOPHY OF RELIGION, MENTAL PATHOLOGY, ANTHROPOLOGY, BIOLOGY, NEUROLOGY, PHYSIOLOGY, ECONOMICS, POLITICAL AND SOCIAL PHILOSOPHY, PHILOLOGY, PHYSICAL SCIENCE, AND EDUCATION

AND GIVING

A TERMINOLOGY IN ENGLISH, FRENCH, GERMAN AND ITALIAN

WRITTEN BY MANY HANDS, AND EDITED BY

JAMES MARK BALDWIN

Ph.D. (Princeton), Hon. D.Sc. (Oxon), Hon. LL.D. (Glasgow)
Stuart Professor in Princeton University

WITH THE CO-OPERATION AND ASSISTANCE OF AN INTERNATIONAL BOARD OF CONSULTING EDITORS

With Illustrations and Extensive Bibliographies.

Volumes I. and II. (Dictionary).

Volume III. (Bibliography).

Volumes II. and III. are in active preparation.

LONDON: MACMILLAN AND CO., LIMITED.

COLUMBIA UNIVERSITY LIBRARY
This book is due on the date indicated below, or at the expiration of a definite period after the date of borrowing, as provided by the rules of the Library or by special arrangement with the Librarian in charge.

DATE BORROWED	DATE DUE	DATE BORROWED	DATE DUE
14Jan '41			

C28(239)M100

COLUMBIA UNIVERSITY LIBRARIES
1010660518

DEC 2 1902